MASTER NEGATIVE
NO. 93-81611-4

AUTHOR:

JAMBLICHUS OF CHALOIS

TITLE:

IAMBLICHI PROTREPTICUS

PLACE:

LIPSIAE

DATE:

1888

Master Negative #

93-81611-4

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

183Ia6
U5

Protrepticus. 1894.

Jamblichus, *of Chalcis.*

Iamblichi Protrepticus; ad fidem codicis Florentini edidit Hermenegildus Pistelli. Lipsiae, in aedibus B. G. Teubneri, 1888.

xiii, [1] p., 170 p. 17½ cm. (*On cover:* Bibliotheca scriptorum graecorum et romanorum Teubneriana. [S. g.])

Forms books II of his Συναγωγὴ τῶν Πυθαγορείων δογμάτων.

1. Neoplatonism. I. Pistelli, Ermenegildo, 1862-1927, ed.

PA3404.J2 1888

34—18595

Library of Congress [64b½]

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm

REDUCTION RATIO: 11x

IMAGE PLACEMENT: IA IIA IB IIB

DATE FILMED: 7/26/93

INITIALS BAP

FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT





AIIM

Association for Information and Image Management


1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910


301/587-8202














MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM
ET ROMANORUM
TEUBNERIANA

IAMBLICHUS

PROTREPTICUS

EDIDIT

H. PISTELLI

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI



IAMBLICHI

PROTREPTICUS

AD FIDEM CODICIS FLORENTINI

EDIDIT

HERMENEGILDUS PISTELLI



LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLXXXVIII

LIPSIAE: TYPIS B. G. TEUBNERI

PRAEFATIO.

Iamblichi Protrepticum qui ante me ediderunt Iohannes Arcerius Theodoretus (Franekerae a. 1598) et Theophilus Kiessling (Lipsiae a. 1813) codicibus usi sunt mendis turpissimis scatentibus, quorum exiguam admodum partem sustulit editorum sollertia. Ac 'bonus' quidem Arcerius ita frequenter et vehementer vituperatus est ab doctis hominibus, ut pudeat nunc maledicta maledictis addere[1]). Aliquanto melior est Kiesslingii editio, qui nonnulla et ipse ex ingenio emendavit[2]), saepius autem nova damna intulit, cum locos non paucos vel sanissime traditos 'corrigeret', id est foedissime corrumperet. Exempla colligat quivis ex quavis fere pagina: adferam nonnulla. P. 60, 21 distinguit *θεωρίας ἀμηχάνους, τὸ κάλλος ἀτενί-*

1) Quae ab Arcerio dicenda erant dixit Nauckius in Prolegom. ad Vit. Pyth. p. V adn. Neque desunt in Protreptico Arcerii emendationes et correctiones quae iniquius esse Cobeti iudicium testentur.

2) Invenerat p. 9, 7 *τῷ σώματι* vel *τῷ σώματι τὸ σῶμα*, 15 *τε*, 16, 1 *ἀποτρέπει*, 18, 21 *οὔτως* vel *ὄντος*, 29, 10 *ταῦτα*, 36, 24 *τοιαῦτα*, 49, 12 *ἕνεκα τούτου* etc.; coniecit *τῷ τὸ σῶμα*, *γε*, *προτρέπει*, *ὄντως*, *ταύτης*, *τοιαῦται*, *ἕνεκά του* etc., quae nunc omnia ut Kiesslingius correxerat obtulit codex Florentinus. Praeterea cf. Adnot. Crit.

ζοντες κτλ. ('difficillimis contemplationibus occupati, pulchritudinem animo intuentes' etc.), quamvis vel Arcerius verum vidisset. P. 116, 13 de coniectura scribit μὴ παρορᾶν τὰ ἀπολλύμενα καὶ διαφθ., ἅτε τῆς τοῦ κόσμου κτλ., nimirum quia non intellexerat participia ex verbo παρορᾶν (i. περιορᾶν) pendere. P. 122, 20 addidit post μεταλαβεῖν voculam ἐξ, 'quum δοκιμάζεσθαι non cum simplici genitivo construatur'! Contra p. 57, 16 quod pro absurdo ποιητοῦ verissime coniecerat Vulcanius (immo Anonymus) ποιητικοῦ, sprevit Kiessling, 'nam τὸ ποιητὸν nonnumquam idem est quod τὸ ποιητικόν'; neque felicius p. 34, 24 ex vitiosa apographorum scriptura αἱ δ' ἄλλαι τὴν elicuit αἱ τὴν ἄλλην, cum dudum rem acu tetigisset Vulcanii (i. Anonymi) coniectura αἱ δι' ἄλλο (at ἄλλα cod. Flor.) τὴν. Accedit quod et ipsis subsidiis quae ad manum haberet, Arcerianam dico editionem et Cizensem codicem, satis neglegenter usus est[1]); neque Parisiensem librum ipse vidit neque Scaligeri emendationes; sed perscrutatus est editionis Arcerianae exemplum in bibliotheca Senatus Lipsiensis asservatum, cuius marginibus vir quidam doctus adscripsit quae ex codice Parisiensi in Berolinense editionis Arcerianae exemplum Nicolaus Rigaltius transtulerat (v. Kiesslingii Praefat. p. XII). Ita factum est ut interdum Scaligero libri Parisiensis vitiosas scripturas tribueret (ex. gr. p. 121, 15 ὑπέρτατον pro ὑπὲρ πάντων), Scaligeri autem coniecturas

1) Ex. gr. p. 15, 6 extat ἡγεμόνι in editione Arceriana, omittit Kiesslingius etiam in interpretatione latina. De Codice Cizensi cf. Nauck p. XL sqq. et quae ipse disputavi in Comparettii *Mus. ital. d'antich. class.* II p. 466.

vel omnino praetermitteret vel libro Parisiensi adscriberet (ex. gr. p. 110, 15 ὄγκου [sic etiam cod. Flor.] pro οἴκου).

Latina etiam Kiesslingii interpretatio, quamquam longe exsuperat bonitate Arcerianam qua nihil potest esse mendosius, omnibus numeris absoluta in Platonicis[1]) praesertim et Aristotelicis excerptis iudicari nequit. Ab ea tamen me esse adiutum ingenue fateor; neque Kiesslingio sunt omnia vitia opprobrio vertenda, cum loci permulti graviter corrupti neque verti neque intellegi ullo modo possent.

Longe meliora me praestitisse in editione mea sine arrogantiae crimine affirmare possum, siquidem non ex ingenio et doctrina editoris haec laus accessit, sed ex virtute codicis Florentini (Laurent. LXXXVI, 3; cf. Bandini III, 286 sq. Cobet, Mnemos.[2] II [1874], 261 sqq. Nauck l. c. p. XXXIII sqq.), quem archetypum esse omnium quotquot extant librorum primus edixit Cobetus, firmissimis autem, ut opinor, argumentis ipse demonstrare conatus sum *Mus. ital.* l. c. p. 457 sqq. Florentini igitur archetypi ope innumera vitia sunt sublata vel saltem detecta, manent alia quae meliore nunc spe licet procurent ingeniosi homines de tradita scriptura edocti[2]). Equidem non hoc mihi

1) In Platonicis excerptis Ficinum est plerumque secutus Kiesslingius (cf. Praef. p. XV), ita ut locorum quos Iamblichus mutaverit, immo vero corruperit, nullam rationem in interpretatione haberet.

2) Codicis Florentini lectiones tantum non omnes iamdudum publici iuris fecerant Cobetus (op. cit.), Hillerus (Jahrbücher für Phil. CVII [1873], p. 387 sq.), Vitellius (*Mus. it.*

proposui ut Iamblicheum centonem emendarem, verum ut codicis Florentini scripturas quam accuratissime referrem. Codicem igitur ita contuli, ut nulla me effugisse memoratu digna acriter contendam; et quamquam, paucis exceptis locis, priorum editionum discrepantes scripturas in adnotatione non commemoravi, fidem mihi vel tacenti haberi velim; quod ab omnibus me facile impetraturum confido qui sciant singulas editionis meae plagulas cum Cod. Flor. ab H. Vitellio rursum esse conlatas. Litterarum compendia aliquotiens in adnotatione critica commemoravi, cum propter perplexas eorum formas (quo de diligenter disseruit Nauckius l. c. p. XXXVII sqq.) quid in Florentino legeretur in dubium vocari posset: in *ν ἐφελκυστικῷ* ante consonantes ponendo, in *ὑγεία* vel *ὑγίεια* scribendo, *τέλεος* vel *τέλειος*, *τελεοῦσθαι* vel *τελειοῦσθαι*, *γίνεσθαι* vel *γίγνεσθαι*, *οὕτω* vel *οὕτως* sim. optimum codicem sum secutus. Ubique vero scripsi *ζῷον*, *σῴζειν*, *θνῄσκειν*, *μιμνῄσκειν* sim., quamvis *ζῶον*, *σώζειν* etc. constanter praebeat codex, et in verbis *σώζειν θνήσκειν μιμνήσκειν ι* perperam additum putet Cobet, Miscell. Crit. p. XV. Praeterea tacite plerumque mutavi interpunctionem et, cum a recepto usu discreparent, accentus. Numerorum notas marginibus in codice adscriptas,

di antich. class. I p. 10 sqq.), unde multo emendatiora proponere poterat doctissimus Aristoteleorum fragmentorum editor Valentinus Rose (in exemplo Teubneriano). Martinus quoque Schanzius, in Platonis dialogis, quos post annum MDCCCLXXIV locupletissimis adnotationibus instructos edendos curavit, utitur quidem Cobeto, sed desultoria ut videtur opera: v. ad Gorg. 493 A. Menexen. 248 A etc.

quibus *εὐνομίας* bona *ἀνομίας* mala (p. 101, 17 — 103, 20) numerabantur, omnino abiciendas duxi, cum neque ordine distribui possent, neque rebus ab Iamblicho disputatis satis responderent, neque illius loci difficultatibus explanandis ullo modo inservire viderentur.

Praeter Arcerium et Kiesslingium operam Protreptico emendando dederunt Anonymus quidam [1]), Scaliger [2]), Fabricius (Zeitschr. für die Alterthumsw. 1840, n. 1 sqq.), Hemsterhusius (ib. 1838, n. 111), quorum tamen coniecturas plerasque silentio praeterii (quas enim vitiosas scripturas temptaverant Florentinus codex plerumque sanavit); itemque apographorum nullam habui rationem, cum neque in Vaticano neque in Laurent. LXXXVI, 29, quos libros ipse contuli, quamquam ceteris omnibus longe praestant, ullam lectionis discrepantiam invenerim, quam equidem memoratu dignam iudicarem. Sed non inutile videtur omnia recensere apographa quotquot mihi huc usque innotuerunt.

I. Vatican. Gr. 1028, saeculi, ut opinor, (cf. Vitelli, praefat. in Philopon. Phys. p. XV) XIV. — II. Laur. LXXXVI, 29, saec. XV. — III. Paris. gr. 1981,

1) Anonymi (de quo v. Nauck, l. c. p. IV, itemque *Mus. ital.* l. c. p. 468) emendationes vel coniecturas in adnotatione ad pp. 19, 9. 34, 19. 47, 21. 59, 28. 60, 7. 113, 3. 118, 10. 123, 27. Kiesslingii errore deceptus Vulcanio tribui.

2) De Scaligero cf. Nauck, l. c. p. XXIX sq. *Museo ital.* l. c. p. 468. Emendationem *διαβάθρας* (p. 125, 4) Scaligero dubitanter tribui; abest enim nota *Sc.* vel *Scal.* quae in Exempl. Arcer. Berol. Scaligeri coniecturis adponitur.

saec. XVI. — IV. Paris. gr. 2093, saec. XV. — V. Marc. Ven. 243, saec. XV. — VI. Cizens., saec. XVI. — VII. Franequeranus, saec. XVI (a. 1548). — VIII. Memmian., ex quo Sam. Tennulius quartum Iamblichi librum descripsit. — IX. Neapolit. III *B* 20, saec. XVI.[1])

Testimonia qua potui diligentia collegi. Quae ad cap. vicesimum afferrem nulla inveni. Aristotelem et in hac Protreptici parte latere censuit Hirzel, argumenta attulit nulla. Item ex Aristotele fluxisse putat Diels (p. 489 dissertationis in Addend. ad p. 24, 14 laudatae) quae leguntur p. 7, 12 sqq. editionis nostrae et alterum Iamblichei Protreptici caput praenunciant. Multa quidem in medium proferre poteram testimonia ubi (cap. XXI) de Symbolis Pythagoricis disputat Iamblichus; quod non feci ne *πάρεργον ἔργον ὡς ποιεῖσθαι* viderer.

Indices huic editioni addi volui duos[2]), alterum *nominum*, scriptores praesertim complexum quos Iamblichus compilavit vel commemoravit, alterum *verborum* in quem omnia quibus utitur vocabula recepi, praeter quae vel admodum vulgaria essent, vel

1) His codicibus addas: 1. cod. Vindobon. (Nessel, catal. IV p. 8 sq. cod. XI); 2. cod. Monacens. 392 quem commemorat Rose, Arist. fragm. ed. Teubn. p. 66; 3. cod. Escorial. (Graux, *Essai sur le fond grec de l'Esc.*, p. 265 Y — I — 1, cf. p. 442); 4. cod. Taurin. (Pasini, catal. I p. 327 sq.). Et hos omnes ex uno codice Florentino fluxisse satis superque ipsae Protreptici et libri quarti in Nicomachi Arithmeticam inscriptiones ostendunt.

2) In Indice nominum latine scripsi quae ad testimonia pertinerent. Uncis adhibitis indicavi quae ex Scholiis excerpsi.

in Platonis locis tantum aut in Pseudoarchytae[1]) fragmentis reperirentur.

Quae silentio praeterii ne adnotationem scripturarum haud satis probabilium farragine onerarem, item observationes et emendationes quas dum hic liber typis describebatur H. Vitelli mecum communicavit, omnia denique quae retractanda viderentur coniciam nunc in

Addenda et Corrigenda.

P. 7, 2 'Verba *πάσας δὲ παιδείας* si auctoris nostri in scribendo diligentia esset maior, delenda censerem' K ‖ p. 10, 5 lege *τὰ μικρὰ* ‖ p. 14, 11 de v. *ἐπεισοδιώδη* (coniectura eam assecuti erant Hemsterhusius et Christ. Godofr. Müller) cf. Iamblich. ap. Stob. Ecl. II 8, 4 (v. II p. 175, 4 Wachsm.). Friedlein, Index ad Procl. in Euclid. s. v. Busse praef. in Porphyr. Isag. p. VII. *ἐπουσιώδη* scripserat K de Scaligeri coniectura (*ἐπεισιώδη* Laur. 86, 29 et A) ‖ p. 15, 18 et 16, 3 'paenitet me nunc futtilis coniecturae, qua Crotone saniora verba *φύσεων* et *φύσιν* attrectavi'. Vitelli ‖ p. 16, 20 *πράγμασιν*] *omnibus in rebus humanis* et N. Scutellius vertit (de secta Pyth. p. 28); qui codice, ut videtur, non spernendo usus quaedam ex Protreptico latine excerpsit in libro qui inscribitur '*Iambl. de Myster. Aegypt.* etc. *Nicolao Scutellio interprete. Adiecti de vita et secta Pythagorae Flosculi, ab eodem Scutellio ex ipso Iamblicho collecti*' (Romae a. 1556) ‖ p. 18, 27 verba *καὶ ἐπεσημήνατο* vel propter communem formam suspecta non respicit Iambl. in explicatione p. 19, 18 sq. ‖ p. 19, 7 'Schneider in lexico suo

1) Archytae philosopho Tarentino adscribenda esse quae ex libro *Περὶ σοφίας* adferuntur (pp. 16—24) fragmenta, vix erit qui credat. Si quis aliter censeat, per me licet restituat doricam dialectum qualem Archytae restituendam ducit Blassius in *Mélanges Graux* p. 573 sqq. Ego contra bene multas vulgares formas patienter tuli, sed in aperto est ne personatum quidem Archytam modo *ἐντί* modo *ἐστί* scribere potuisse.

dubitat de forma ὀπτίζειν' K, qui tamen addit 'quo iure, non video'. Dielesio venit in mentem Dorica vox ὀπτίλλος: 'der metonymische Gebrauch des Wortes ὀφθαλμός (Xenoph. Oec. 12, 20 δεσπότου ὀφθαλμός, vgl. Aesch. Cho. 933. Pers. 171 etc.) würde den halbpoetischen Ausdruck erklären.' ‖ p. 20, 8 ὁρμή et ἀρχή etiam alibi confunduntur, velut Arist. Phys. *B* 1, 192^{b}, 18 (cf. Philopon. ad h. l. p. 203, 18 ed. Berol.) ‖ p. 21, 19 αὐτᾶς] ἑκάστω perperam Mullach ‖ p. 23, 8 ἀναλύειν voluit Anon. cf. p. 26, 16. 30, 11. 70, 14. 93, 25 al.; at p. 83, 27 sq. εἰ βουλοίμεθα ὄντως εὐδαιμονήσειν. ‖ p. 23, 14 ἱκανὸς ᾖ scr. K. ‖ p. 24, 14 *Πυθ. διαιρ.*] v. nunc H. Diels, Zu Aristoteles Protreptikos und Ciceros Hortensius (Arch. für Gesch. der Philos. I, 4) p. 489 n. 20 ‖ p. 27, 1 codicis ποιεῖσθαι vertit 'per alios faciendum curare' et καὶ ⟨τὸ⟩ χρῆσθαι scribi vult Cobet (Mnemos.^{2} II p. 264), qui Platonis verba (Euthyd. p. 289 B) non agnovisse videtur ‖ p. 30, 25 certum est Platonem solis genuinisque formis uti φιλόνικος, φιλονικία etc. Sed dudum ante Iamblichum (in Vit. Pyth. φιλόνεικος, φιλονεικία constanter praebet F) irrepserant φιλόνεικος, φιλονεικία etc., quas vel sano alioquin iudicio grammatici defendere conati erant. Item p. 62, 13 θρυλλοῦσιν, p. 68, 8. 11 ἐργμοῦ codicis scripturas servavi ‖ p. 31, 1 φιλομαθείας poterat fortasse servari ‖ p. 34, 5 adn. adde Dielesii dissertationem in Addendis ad p. 24, 14 laudatam ‖ p. 34, 7 l. εἰκῇ ‖ p. 34, 13 sq. τὸ δ' οὐκ ἔχον] τὸ δ' ἄλογον K ex apogr. Ciz. ‖ p. 34, 19 *mentis igitur et intelligentiae causa* vertit Scutellius (l. c. p. 32) ‖ p. 35, 22 συνάψαντας malit K ‖ p. 36, 27 cf. Diels op. cit. p. 485 n. 13 ‖ p. 37, 3—9 cf. Aristot. ap. Stob. Flor. III, 54 (Fr. 57, Rose ed. Teubn.). Diels op. cit. p. 480 sqq. ‖ p. 37, 6 πλέον θάτερον ἀπεργάζεσθαι Plat. Phaedon. p. 114 E (infra p. 71, 11). Cf. Euthydem. p. 280 *E* (supra p. 25, 17) ‖ p. 37, 23 adn. ante 41, 2 adde 40, 13 ‖ p. 40, 23 sq. subestne senarius πονεῖν γὰρ οὐδεὶς βούλεται πολὺν χρόνον? ‖ p. 41, 16 sq. cf. supra p. 27, 13 sq. (Plat. Phaed. p. 80 A) ‖ p. 42, 19 κυβερ l. κυβερ- ‖ p. 43, 1 l. φρονήσεως ‖ p. 43, 3 κρίνεται Scaliger ‖ p. 45, 7 'Perverse in verbis τὴν μεγίστην ἀπ' ἀνθρώπων οὐσίαν eiecit Kiessling praepositionem, neque felicius ipse κατ' ανθρωπον conieci. Ut enim Lysias Plato

Aeschines alii (v. Steph. Thes. s. v. ἄνθρωπος p. 785 D) ἐξ ἀνθρώπων dixerunt τὰς γραφάς, τὰς πληγάς, τὰ πράγματα, τὴν εὐδαιμονίαν, τὸ κάλλος (τὸν ἐξ ἀνθρώπων πλοῦτον Dionys. Hal. A. R. Excerpt. l. XII, 1 p. 173, 10 Kiessl. 686, 22 Prou; quo de v. Cobet, Obs. ad Dion. Hal. p. 13), ita nullus nunc dubito quin scripserit Aristoteles τὴν ἐξ ἀνθρώπων οὐσίαν (*divitias hominum modum excedentes*). Sed si ipsis Aristotelis libris adhaeserat interpretamentum μεγίστην, non is erat Iamblichus qui putidum emblema detegeret: certe idem sexcentas codicum platonicorum corruptas scripturas integra fide servavit. In Iamblicho igitur retinendum fortasse μεγίστην, sed ἀπ' in ἐξ utique mutatum oportuit'. Vitelli ‖ p. 45, 21 τοῦ φρονεῖν abesse malim ‖ p. 46, 19 verba καὶ τὸ δῆλον et 20 καὶ τὸ σαφὲς delet Rose ‖ p. 47, 14 πῶς voluit et A in Castigg. ‖ p. 47, 21 πολύ τι. τίς ἂν scr. K ‖ p. 48, 4 *in Tyrrhenia* vertit Scutellius (p. 34) ‖ p. 48, 7 memor erat Vitelli loci Platonici ab ipso Iamblicho (p. 68, 7) descripti ‖ p. 48, 25 τὸν κατὰ νοῦν βίον scribendum videtur, cl. p. 4, 2. 19. 56, 13 al. ‖ p. 49, 16 interpolatum esse ὅτι et res ipsa docet et similis locus Aristot. de part. anim. A 1. 639^{b}, 18 sq. Nimirum ἀποδίδωσιν ὁ τὴν τέχνην ἔχων λόγον δι' ὃν γράφει καὶ οὗ ἕνεκα, sed ignorat idem καθὸ τεχνίτης quae ad philosophum pertinent, melius esse scilicet τὸ οὗ ἕνεκα quam τὸ διὰ τοῦτο γιγνόμενον. Ceterum paulo ante scribendum ὁ τὴν γραφικὴν ἔχων vel ὁ τὴν ⟨γραφικὴν⟩ τέχνην ἔχων (cf. p. 50, 7 sq.) suspicabatur Vitelli ‖ p. 51, 13 ἐράτησιν· l. ἐρώτησιν, ‖ p. 51, 22 ψυχὴν l. ψυχήν ‖ p. 52, 3 post τέλος adde comma ‖ p. 52, 7 adn. coniectura τῷ Scaligero debetur ‖ p. 53, 23 adn. similiter ἐπιδώσω pro ἐπιθήσω scribi vult Nauck in versu Iliadis Ψ 796 ‖ p. 53, 24 ἑλοίμεθ' ἂν debetur A in Castigg. ‖ p. 55, 1 ne δὴ conicias cf. Bonitz, Index Arist. p. 167^{a}, 15 sqq. ‖ p. 55, 7 sqq. cf. Diels op. cit. p. 492 sq. ‖ p. 55, 18 πράττει voluit et Scaliger (erat in A πράττειν) ‖ p. 55, 18 sq. μιμούμενος καὶ ἀποβλέπων de altera Vitellii coniectura scribendum erat, cl. Iambl. lib. III p. 224, 24 Villois. πρὸς ἅπερ ἀποβλέπων τις καὶ μιμούμενος ‖ p. 56, 8 lege ἦμεν et dele adnotationem ‖ p. 59, 14 num delendum ἀπὸ? ‖ p. 60, 12 adn. αἰσθάνεσθαι l. αἰσθάνοιτο ‖ p. 61, 5 adn. scilicet et hic et in

summario coniecerat Vitelli *παρὰ* ‖ p. 69, 20 adn. l. delevit. A in Castigg. ‖ p. 70, 2 l. *Πηνελόπης* ‖ p. 71, 17 adn. l. Plat. apol. Socr. p. 29 D—30 B ‖ p. 72, 4 adn. post 91, 26 sqq. adde 99, 16 ‖ p. 73, 18 adn. pro PK l. PAnon. ‖ p. 74, 22 l. *καταφαίνεται* ‖ p. 78, 26 adn. l. A et Cobet ex P ‖ p. 80, 3 *προσβάλλοντα* et Anonymus voluit ‖ p. 86, 3 *ἐναργῶς* scribendum, ut A coni. in Castigg.; cf. p. 5, 20 ‖ p. 95, 6 adn. excidit accentus in vocula *ἂν* ‖ p. 96, 29 'praetulerim *οὐχ οἷόν τε ⟨οὔτε⟩ ὀψὲ ἀρξαμένῳ οὔτε κτλ.*' Vitelli ‖ p. 97, 23 sq. *καταχρώμενος — πονηρά[χρώμενος]*, vel *χρώμενος — πονηρὰ καταχρώμενος* malit Vitelli ‖ p. 98, 6 adn. excidit accentus in verbis *εὖ ποιητικὸς* ‖ p. 98, 19 adn. cf. etiam p. 95, 6 ‖ p. 98, 24 adn. *ταὐτόν ἐστιν ἡ ζωὴ καὶ* l. *ταὐτὸν ἡ ζωή ἐστι καὶ* ‖ p. 99, 27 *λείπεσθαι*] *ἀνταλλάττεσθαι* (vel *ἀλλάττεσθαι*) coni. Vitelli. de *ἀθάνατον* = *ἀθάνατόν τι* v. Krüger ad Thuc. 2, 91, 3 ‖ p. 104, 27 fort. *τῆς ⟨Πυθαγορικῆς⟩ αἱρέσεως*, vel cl. p. 105, 21 *⟨τῆςδε⟩ τῆς αἱρέσεως* ‖ p. 106, 9 calidius fortasse recepi *ἀλλήλους* ex Vit. Pyth. cf. Rittershusius ad Porphyr. Vit. Pyth. p. 21 Kuster ‖ p. 106, 10 sq. cf. et Vit. Pyth. p. 158, 9 sq. Nauck ‖ p. 106, 15 *ἀκροαματικὸν* A in interpretatione latina, itemque in Castigg. ‖ p. 106, 19 sqq. cf. et Vit. Pyth. p. 61, 10 sqq. Nk. ‖ p. 108, 5 *μή* l. *μὴ* ‖ p. 108, 14 *μεταφύτευε*? cf. 125, 12 sqq. ‖ p. 108, 17 Vitellii emendationem *κατ' ἰδίαν δὲ* praecepit Scutellius (p. 44) qui vertit: *communiter quidem — privatim vero* ‖ p. 110, 6 adn. l. *τούτοις*, sed praestat fortasse totam adnotationem induci ‖ p. 113, 3 *ὠνέεται*] cf. U. v. Wilamowitz-Moellendorff, Homerische Untersuchungen p. 317 n. 26 ‖ p. 113, 13 verba *ζεῖ — θαλπόμενος* post *καλοῦμεν* (v. 12) transposuerit Vitelli ‖ p. 113, 15 adn. excidit accentus in voce *γνώμην* ‖ p. 113, 24 l. *ῥᾳθυμίας* ‖ p. 115, 20 an *ἐκεῖνο προλέγει*? ‖ p. 116, 1 adn. l. *τὸ* alterum addidit K ‖ p. 116, 8 *ζῳωδίας* legendum esse viderant A in Castigg., Anonym., Scutellius, qui vertit (p. 48) *cum sensualitate* ‖ p. 116, 13 adn. cf. etiam Cobet, Miscell. Crit. p. 581 ‖ p. 116, 25 *philosophandum ergo est* vertit Scutellius (p. 48) ‖ p. 117, 4 adn. pro 15, 14 et 36, 11 l. 15, 4 et 32, 11 ‖ p. 117, 8 *benignus esto et dapsilis,* ut A voluit, vertit Scutellius (p. 48) ‖ p. 118, 4 *σχίζον* coni. Goettling ‖ p. 119, 24 *αὐτὴν* pro *ἑαυτὴν* requirit Anon. ‖ p. 120, 10

προσέχεσθαι scripserat K ‖ p. 120, 20 alterum *μὴ* deleri iussit Anon. ‖ p. 121, 19 adn. *αὐτὸν* debetur Arcerio (in Castigg.) ‖ p. 122, 12 sq. *sed ad sacrificia, quamvis alio tempore sint neglecti, adduc ipsos ad te* vertit Scutellius (p. 50), Kiesslingii emendationem occupans ‖ p. 123, 8 *neque propinquorum* (*τῶν πέλας*) *clade laetatur* vertit Scutellius (p. 51) ‖ p. 124, 10 adn. post littera *ρ* adde *ῖ* ‖ de forma *ἐρυθῖνον* nunc dubito, nam veriloquium quod Iamblichus subicit commendare videtur alteram formam *ἐρυθρῖνον*. Potuit certe *ἐρυθαινόμενον* pro *ἐρυθριῶντα* scribere ‖ p. 125, 4 adn. excidit accentus in voce *διαβάθρας* ‖ p. 128, 19 dele cancellos et adnotationem ‖ p. 128, 25 l. *οὐχ* (est in Cod. *οὐκ*).

Restat ut amplissimis viris, quorum humanitate in hoc opere perficiendo sum potissimum adiutus, in primis Hermanno Diels, a quo nonnullas emendationes et correctiones accepi, et Ottoni Hense, cui debetur si quae ex Iamblichi Protreptico (p. 8, 17—19. p. 8, 20—p. 9, 2. p. 9, 8—11. p. 32, 13—15) excerpsit in Florilegio Stobaeus critico quem vocant apparatu instructa proponere potui, gratias maximas agam, maiores etiam habere profitear. Hieronymo Vitelli, qui auctor mihi fuit ut Protrepticum edendum susciperem, quid et ipse debeam et haec Iamblichei operis editio primo quidem adspectu docti homines iudicabunt. Neque minori me beneficio obstrinxere Laurentianae Bibliothecae, itemque Vaticanae Marcianae Berolinensis Parisiensis Praefecti, qui et Iamblicheorum librorum copiam fecerunt et quae mea scire interesset mecum liberalissime communicaverunt.

Scr. Florentiae mense Septembri
a. MDCCCLXXXVIII.

H. Pistelli.

Notarum explicatio.

F = Laur. LXXXVI, 3, ex quo in adnotatione refertur nulla nota adhibita.
A = Arcerius.
K = Kiessling.
P = Plato.

Florilegii Stobaeensis:
A = cod. Vindobon.
L = cod. Laur. VIII, 22.
Br = cod. Bruxell.
M = cod. Escorial (de M[d] cf. Mus. Rhen. 39 p. 359 n.).
A = cod. Paris. 1984.
Tr = ed. Trincav.

NB. In adnotatione critica Summariis subiecta, notis 'h. l.' (= hoc loco) Summaria indicavi quae in codice ante Protrepticum leguntur, foliorum numeris eadem Summaria iterum in marginibus paginarum singula singulis capitibus adscripta.

ΙΑΜΒΛΙΧΟΥ

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΕΠΙ ΦΙΛΟΣΟΦΙΑΝ

p. 3 K.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ.

A Τίς ἡ ἀρχὴ κατὰ Πυθαγόραν τῆς εἰς παιδείαν καὶ φιλοσοφίαν εἰσαγωγῆς, καὶ πῶς κοινοτάτη ἐστὶ καὶ εἰς πάντα τὰ εἰς φιλοσοφίαν ἀγαθὰ διατείνουσα, τίς τε αὐτῆς ἡ τάξις καὶ ὅτι τριχῇ διαιρεῖται, καὶ πῶς ἀεὶ πρόεισιν ἐπὶ τὸ καθαρώτερον.

B Γνωμικὰ ὁμοιώματα προτρεπτικὰ ἀπὸ τῶν ἐναργῶν πᾶσι κινοῦντα ἡμῶν τὴν προθυμίαν ἐπὶ τὸ γενναίως ἀντιλαμβάνεσθαι τῆς κοινῶς κατὰ πᾶσαν αἵρεσιν νοουμένης ἀρετῆς.

Γ Πυθαγορικαὶ γνῶμαι προτρεπτικαὶ ἔμμετροι, εἰς πᾶσαν τὴν ἀρίστην καὶ θειοτάτην φιλοσοφίαν παρακαλεῖν δυνάμεναι.

Δ Ἐπιστημονικαὶ ἔφοδοι εἰς προτροπὴν τείνουσαι τῆς θεωρητικῆς φιλοσοφίας μετὰ τοῦ καὶ διδασκαλίαν παρ-
p. 4 K. έχειν ὅσον τε καὶ ἡλίκον ἀγαθόν ἐστιν ἡ σοφία καὶ διὰ τίνας αἰτίας περισπούδαστον τοῖς εὖ φρονοῦσι.

E Πυθαγορικαὶ ἰδίως προτροπαὶ πολὺ παραλλάττουσαι τὰς παρὰ τοῖς ἄλλοις φιλοσόφοις παρακλήσεις καὶ ἰδίας ποιούμεναι τὰς ἐφόδους.

F Σύμμικτοι προτροπαὶ πρός τε τὴν πρακτικὴν καὶ πολιτικὴν ἀρετὴν καὶ πρὸς τὴν τῆς τελειοτέρας κατὰ νοῦν σοφίας κτῆσίν τε καὶ χρῆσιν.

---

1 De Summariis cf. Nauck Vit. Pyth. p. 1 ‖ 2 *τίς ἀρχὴ* fol. 47 b ‖ 16 *ἐστὶν ἀγαθὸν* h. l.

Z 'Ιδιάζουσαι παρακλήσεις πρὸς τὴν θεωρητικὴν φιλοσοφίαν καὶ διαφερόντως τὴν κατὰ νοῦν ζωήν, αἱ μὲν ἀπὸ τῆς τοῦ ὄντως ἀνθρώπου φύσεως, αἱ δὲ ἀπὸ τῶν ἐναργῶν ὑπομιμνήσκουσαι τουτὶ τὸ προκείμενον.

H Ὑπομνήσεις ἀπὸ τῶν κοινῶν ἐννοιῶν παραμυθούμεναι τὸ πρώτως ὀρεκτὸν καὶ δι' ἑαυτὸ αἱρετὸν φιλοσοφίας, ἐναργῶς τε προάγουσαι εἰς τὴν προτροπὴν ἀπὸ τῶν γνωρίμων τοῖς πᾶσιν.

Θ 'Απὸ τοῦ βουλήματος τῆς φύσεως ἔφοδος εἰς προτροπὴν κατὰ τὴν Πυθαγόρου ἀπόκρισιν, ἣν εἶπε τοῖς ἐν Φλιοῦντι πυνθανομένοις τίς ἐστι καὶ τίνος ἕνεκα γέγονε· ταύτῃ γὰρ ἑπομένως συλλογιζόμεθα τὴν προ- p. 5 K. τροπὴν ὅλην.

I Ὅτι καὶ μεγάλας ὠφελείας παρέχεται πρὸς τὸν βίον ἡ θεωρητικὴ φρόνησις, ὑπομνήσεις πλείονες καὶ ἀπὸ πλειόνων ἀφορμῶν τρόποι τε τῆς χρείας ὑποδείκνυνται διάφοροι καὶ πρὸς πολλὰ τέλη τῶν συμφερόντων ἡμῖν συμβαλλόμενοι.

IA Ὅτι τῷ τὸν κατὰ νοῦν ἑλομένῳ βίον καὶ τὸ χαῖρον διαφερόντως ὑπάρχει.

IB 'Απὸ τοῦ πρὸς εὐδαιμονίαν φέρειν φιλοσοφίαν τελέως καὶ ἀληθῶς ἔφοδος εἰς προτροπὴν τοῦ φιλοσοφεῖν τελέαν καὶ ἀνυσιμωτάτην.

IΓ 'Απὸ τῶν περὶ φιλοσοφίας ἐννοιῶν ἔφοδοι εἰς προτροπὴν κατὰ τὰς Πυθαγορικὰς ὑποθέσεις καὶ κατὰ τὰς ἀληθεῖς περὶ ψυχῆς δόξας.

IΔ 'Απὸ τοῦ βίου τοῦ ἐν φιλοσοφίᾳ καὶ τῆς ὅλης ζωῆς τοῦ φιλοσόφου ἀφορμαὶ εἰς προτροπήν, ὁμοῦ ἐξ

---

1 Summaria ϛ' et ζ' h. l. coniuncta sunt ‖ 3 ὄντως fol. 57a: ὄντος h. l. ‖ 6 πρῶτον fol. 58b: αὐτὸ h. l. ‖ 8 πᾶσι fol. 58b ‖ 19 fort. χαίρειν cl. p. 160, 6 et 170, 3 Kiessl. ‖ 23 τελέαν fol. 62b: τελέως h. l.

ἀντιπαραθέσεως ἐπιδεικνύουσαι ὅσῳ δή τινι προέχει ἡ τοιαύτη ἐνέργεια τῶν ἄλλων τῶν δοκούντων εὐδοκίμων εἶναι βίων.

IE 'Απὸ τῆς παιδείας καὶ ἀπαιδευσίας ἡ προτροπή, εἰ p. 6 K. τὸ μὲν μέγιστον τῶν ἀγαθῶν, τὸ δὲ τῶν κακῶν μέγιστον, εἰ καὶ αὐτά τέ ἐστι τοιαῦτα καὶ ἔοικε τοιούτοις τισὶν ἑτέροις οἷαπέρ ἐστιν αὐτά, καὶ ὅτι φιλοσοφία μὲν παιδείας ἐστὶν ἡγεμών, τὸ δὲ ἐναντίον κατάρχει ἀπαιδευσίας.

IF Ἄλλαι ἔφοδοι ἀπὸ τοῦ τέλους τῆς παιδείας προτρέπουσαι ἐπὶ τὴν συγγενῆ πρὸς τὸ παιδεύεσθαι φιλοσοφίαν, τό τε ἔργον ὁμοῦ τῆς φιλοσοφίας ἐπιδεικνύουσαι καὶ τὴν ὅλην αὐτῆς ἐπιμέλειαν περὶ τὰς ἀρίστας ἐνεργείας τῶν τῆς ψυχῆς δυνάμεων.

IZ 'Απὸ τῶν παλαιῶν λόγων καὶ τῶν ἱερῶν μύθων τῶν τε ἄλλων καὶ τῶν Πυθαγορικῶν ὑπομνήσεις εἰς προτροπὴν ἐπὶ τὸν σώφρονα καὶ μέτριον καὶ κεκοσμημένον βίον· αἱ δὲ αὐταὶ μεταβάλλουσι τὴν διάνοιαν ἡμῶν ἐκ τοῦ πρὸς τὴν ἀκολασίαν καὶ τοῦ κατὰ τὴν ἡδονὴν βίου.

IH 'Απὸ τῶν ἐναργῶς περὶ τὸ σῶμα φαινομένων τάξεων καὶ ἀπὸ τοῦ περὶ αὐτὸ κόσμου κατὰ τὴν ἀνάλογον μετάβασιν τῆς διανοίας ἐπὶ ψυχὴν μεταβαίνοντες ποιούμεθα τὴν προτροπὴν γνωρίμως τοῖς ἀκούουσι καὶ πιθανῶς διὰ τὸ ἀπὸ τῶν ἐναργῶν αὐτὴν προϊέναι.

IΘ 'Απὸ τῶν ἐν τῇ ψυχῇ ἀγαθῶν ἔφοδος εἰς προτροπὴν ὡς ὄντων κυριωτάτων εἰς εὐδαιμονίαν, καὶ ἀπὸ p. 7 K. τῶν ἀρετῶν ὡς αὐτάρκων ὑπαρχουσῶν πρὸς τὸν μακάριον βίον ἡ ὁμοία παράκλησις.

---

12 τό τε fol. 69b: τό τε γὰρ h. l. ‖ 15 sq. τῶν τε] τῶν om. h. l. ‖ 16 πυθαγορείων p. 246, 13 Kiessl. ‖ 18 sq. ἡμῶν πρὸς τὴν ἀκολ. καὶ τὸν κατὰ τὴν ἡδ. βίον h. l. ‖ 23 γνωρίμοις h. l. ‖ 24 προσιέναι h. l.

Μεμιγμέναι ὑποθῆκαι προτροπαῖς κοινῇ διήκουσαι K *ἐπὶ πάντα τὰ ἀγαθὰ καὶ τὰ μέρη πάντα τὰ ἐν φιλοσοφίᾳ καὶ τὰ τέλη τοῦ βίου, ὧν στοχάζεται ἡ ἀρετή.*

Τίς ἡ συμβολικὴ προτροπὴ καὶ πῶς γίνεται διὰ KA *συμβόλων, ἀνάπτυξίς τε καὶ κοινὴ τῶν συμβόλων καὶ ἰδία ἑκάστου, μόνον ἀπ' αὐτῶν τὸ προτρεπτικὸν ἐξηγουμένη ποσαχῶς γίνεται, τὴν δὲ ἄλλην πραγματείαν περὶ τῶν συμβόλων ἀλλαχοῦ ὑπερτιθεμένη.*

ΙΑΜΒΛΙΧΟΥ ΧΑΛΚΙΔΕΩΣ ΤΗΣ ΚΟΙΛΗΣ ΣΥΡΙΑΣ ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΕΠΙ ΦΙΛΟΣΟΦΙΑΝ. p. 1 A. p. 8 K.

I. *Περὶ μὲν Πυθαγόρου καὶ τοῦ κατ' αὐτὸν βίου τῶν τε Πυθαγορικῶν ἀνδρῶν τὰ σύμμετρα ἐν τοῖς πρὸ τούτων εἰρήκαμεν, ἀρχώμεθα δὲ τὸ λοιπὸν αὐτοῦ τῆς αἱρέσεως ἀπὸ τῆς κοινῆς εἰς πᾶσαν παιδείαν καὶ μάθησιν καὶ ἀρετὴν παρασκευῆς, ἥτις οὐ κατὰ μέρος ἀπολαβοῦσα πρὸς ἕν τι τῶν πάντων παρασκευάζει τὸν ἄνθρωπον ἐπιτήδειον, ἀλλ' ὡς ἁπλῶς εἰπεῖν τὰς ἐν αὐτῷ προθυμίας προτρέπει εἰς πάντα μὲν τὰ μαθήματα, πάσας δὲ τὰς ἐπιστήμας, πάσας δὲ τὰς ἐν τῷ*
10 K. *βίῳ καλὰς καὶ γενναίας πράξεις, πάσας δὲ παιδείας, καὶ ὡς ἔπος εἰπεῖν πάντα ὅσα μετέχει τοῦ καλοῦ. οὔτε γὰρ ἄνευ τοῦ προτραπῆναι οἷόν τέ ἐστιν ὁρμῆσαι ἐπὶ τὰ καλὰ καὶ γενναῖα ἐπιτηδεύματα, οὔτε οἷόν τε εὐθὺς*
2 A. *ἐπὶ τὸ ἀκρότατον καὶ τελειότατον ἀγαθὸν προευτρεπίζειν τινὰ πρὶν ἐμποιῆσαι ὑποκατασκευὴν τῆς ψυχῆς διὰ τῆς προτροπῆς· ἀλλ' ὥσπερ ἡ ψυχὴ κατὰ βραχὺ πρόεισιν ἐπὶ τὰ μείζονα ἀπὸ τῶν ἐλαττόνων, διὰ πάντων τε διέξεισι τῶν καλῶν, καὶ ἐπὶ τῷ τέλει τὰ τελεώτατα ἀγαθὰ εὑρίσκει, οὕτως καὶ τὴν προτροπὴν δεῖ ὁδῷ προϊέναι ἀρχομένην ἀπὸ τῶν κοινῶν. εἰς γὰρ φιλοσοφίαν ἁπλῶς παρορμήσει καὶ πρὸς αὐτὸ τὸ φιλο-*
12 K. *σοφεῖν συλλήβδην καθ' ἡντινοῦν ἀγωγήν, μηδεμιᾶς τῶν αἱρέσεων ἄντικρυς προκρινομένης, ἀλλὰ κοινῶς κατὰ γένος ἁπασῶν ἐπαινουμένων καὶ παρὰ τὰ ἀνθρώπινα ἐπιτηδεύματα πρεσβευομένων κατά τινα κοινὸν καὶ δημώδη προτρεπτικὸν τρόπον. μετὰ δὲ ταῦτα μέσῃ τινὶ μεθόδῳ χρηστέον, οὔτε παντάπασι δημώδει οὔτε μὴν ἄντικρυς Πυθαγορικῇ, ἀλλ' οὐδὲ ἀπηλλαγμένῃ ὁλοσχερῶς ἑκατέρου τοῦ τρόπου τούτου. ἐν δὲ ταύτῃ κοινάς τε πάσης φιλοσοφίας τάξομεν παρορμήσεις, ὥστε*
3 A. *κεχωρίσθαι αὐτὰς Πυθαγορικοῦ βουλήματος κατά γε τοῦτο, συμμίξομεν δὲ ἐγκαιρότατα καὶ τὰς τῶν ἀνδρῶν τούτων κυριωτάτας δόξας [εἰς ἃς προτρέπειν τῶν Πυθαγορικῶν], ὥστε οἰκεῖον γίγνεσθαι [τὸν τρόπον] τῶν*

---

2 *τὰ πάντα τὰ ἀγ.* h. l.: *πάντα ἀγ.* fol. 73 a ‖ *πάντα ἐν φιλ.* h. l. ‖ 4 *γίγνεται* h. l. ‖ 5 sq. *κοινῇ τῶν συμβ. καὶ διὰ ἑκάστου αὐτοῦ* h. l. ‖ 7 *ποσαχῶς*] *πῶς ἀρχὴ* fol. 76 b ‖ 10 sq. *προτρεπτικὸς ἐπὶ φιλοσοφίαν* in indice libr. Iambl. (f. 1 a): *πυθαγορείων ὑπομνημάτων περιέχ' τοὺς προτρεπτικοὺς λόγους εἰς φιλοσοφίαν* (cf. lemmata Stobaei floril. II 40. XLIII 71. VI 41, itemque XLVI 70) in inscriptione: *πυθαγ. ὑπομνημ. ⟨λόγος δεύτερος⟩ περιέχων τοὺς προτρ. λόγ. εἰς φιλ.* Fabricius (Zeitschr. für die Alterthumsw. 1838, 111) ‖ 14 *ἀρχώμεθα* A: *ἀρχόμεθα.*

---

18 sqq. cf. infra c. XXI p. 306, 6 sqq. Kiessl.

---

18 *μετὰ δὲ*] hinc alterum caput in codice: ipse K et capitis α′ summarium sequor ‖ 19 sq. *οὔτε μὴν* (ex p. 306, 11 Kiessl.) reposui: *οὐδὲ μὴν* ‖ 25 sq. *εἰς ἃς* (*οἵας* vel *ἱκανὰς* coni. et *τῶν Πυθ.* del. Vitelli) *πρ. τῶν Πυθαγορικῶν* et *τὸν τρόπον* delevi.

Πυθαγορικῶν ἀνδρῶν κατά γε τοῦτο τὸν τρόπον τῶν λόγων· ἀφ' οὗ δὴ λεληθότως, ὡς τὸ εἰκός, ἀπὸ μὲν τῶν ἐξωτερικῶν ἐννοιῶν ἀποστησόμεθα, μεταβησόμεθα 14 K δὲ καὶ οἰκειωσόμεθα ταῖς κατὰ τὴν αἵρεσιν τεχνολογουμέναις ἀποδείξεσιν, οἷον διά τινος γεφύρας ἢ κλίμακος κάτωθεν εἰς ὕψος ἀνιόντες. ἐπὶ δὲ τῷ τέλει τὰ ἴδια προτρεπτικὰ τῆς Πυθαγορικῆς αἱρέσεως συντάξομεν, ἀλλότρια καὶ ἀπόρρητα τρόπον τινὰ πρὸς τὰς ἄλλας ἀγωγὰς ὑπάρχοντα.

II. Ἀρξώμεθα δὲ τὸ λοιπὸν ἀπὸ τῶν ὡς πρὸς ἡμᾶς πρώτων. ἔστι δὴ τὰ ἐναργῆ ταῦτα καὶ φαινόμενα πᾶσι καὶ μηδέπω προειληφότα τὴν οὐσίαν τῆς ἀρετῆς, κατὰ δὲ τὰς κοινὰς ἐννοίας περὶ αὐτῆς ἀνεγείροντα ἡμῶν τὴν προθυμίαν κατά τινας γνωρίμους τοῖς πολλοῖς γνώμας, ἀπεικαζομένας πρὸς τὰ ἐναργῆ δείγματα τῶν ὄντων. ἔχουσι δὲ αὗται ὧδέ πως·

Ψυχῇ ζῶντας ἡμᾶς τῇ ταύτης ἀρετῇ ῥητέον εὖ ζῆν, ὡς ὀφθαλμοῖς ὁρῶντας τῇ τούτων ἀρετῇ καλῶς 4 A. ὁρᾶν. οὔτε χρυσοῦ νομιστέον ἰόν, οὔτ' ἀρετῆς αἶσχος 16 K. ἅπτεσθαι. καθάπερ εἰς ἄσυλον τέμενος τὴν ἀρετὴν

5 *διά τινος γεφύρας κτλ.*] cf. Nicomach. Arithm. I 3, 6 (p. 7, 21 sqq. Hoche). Iambl. in Villoison Anecd. II p. 189, 13 ‖ 17 sqq. cf. Mullach Fragm. Philos. Graec. I 492 sqq. ‖ 17. 19. *ψυχῇ — ὁρᾶν* Stob. Flor. I 58 Br. Tr. (lemma *ἐκ τῶν Ἰαμβλίχου* Tr.: *τοῦ αὐτοῦ* Br., ubi praecedit Iamblichi excerptum editum ab O. Hense, De Stob. Flor. Excerpt. Bruxell. [Friburgi i. Br. 1882] p. 33) ‖ 20. p. 9, 2 *καθάπερ — ἔκδοτοι* Stob. Flor. I 59 MATr. (lemma *Ἰαμβλίχου ἐκ τῶν προτρεπτικῶν λόγων* [*λόγον* M] MA: in Tr. cohaeret cum I 58).

1 *τοῦτο* scripsi: *τοῦτον* ‖ 11 *δή τοι ἐναργῆ* et 12 *περιειληφότα* Hemsterhusius (Zeitschr. für die Alterthumsw. 1840, 1) ‖ 14 ⟨*καὶ*⟩ *κατά*? Vitelli

ὁρμητέον, ὅπως πρὸς μηδεμίαν ἀγεννῆ ψυχῆς ὕβριν ὦμεν ἔκδοτοι. [περὶ κοινωνίας βίου καὶ παραμονῆς.] ἀρετῇ μὲν θαρσητέον ὡς σώφρονι γαμετῇ, τύχῃ δ' ὡς ἀστάτῳ πιστευτέον ἑταίρᾳ. κρεῖττον μετὰ πενίας ἀρετὴν ὑποληπτέον ἢ πλοῦτον μετὰ κακίας, ὀλιγοσιτίαν μετὰ ὑγείας ἢ πολυφαγίαν μετὰ νόσου. βλαβερὰ μάλιστα τροφῆς μὲν ἀφθονία τῷ τὸ σῶμα, κτήσεως δὲ 18 K. τῷ τὴν ψυχὴν διακειμένῳ κακῶς. καὶ ἐπισφαλὲς καὶ ὅμοιον μαινομένῳ δοῦναι μάχαιραν καὶ μοχθηρῷ δύναμιν. καθάπερ τῷ ἐμπύῳ βέλτιον τὸ καίεσθαι τοῦ διαμένειν, καὶ τῷ μοχθηρῷ τὸ τεθνάναι τοῦ ζῆν. τῶν κατὰ σοφίαν θεωρημάτων ἀπολαυστέον ἐφόσον οἷόν τε, καθάπερ ἀμβροσίας καὶ νέκταρος· ἀκήρατόν τε γὰρ τὸ ἀπ' αὐτῶν ἡδὺ καὶ † τὸ θεῖον τὸ μεγαλόψυχον † δύναται [τε] ποιεῖν, καὶ εἰ μὴ ἀιδίους, ἀιδίων γε ἐπι- 20 K. στήμονας. εἰ εὐκτὸν ἡ εὐαισθησία, μᾶλλον σπουδαστὸν 5 A. ἡ φρόνησις· ἔστι γὰρ τοῦ ἐν ἡμῖν πρακτικοῦ νοῦ οἱονεί τις εὐαισθησία· δι' ἣν μὲν γὰρ ἐν οἷς πάσχομεν οὐ παραισθανόμεθα, δι' ἣν δὲ ἐν οἷς πράττομεν οὐ παρα-

6 sq. cf. Menandr. inc. fab. fragm. 65 (Com. Gr. IV 252 Mein.) ‖ 8. 10 *ὁμοίως ἐπισφαλὲς μαιν. — δύναμιν* Stob. Flor. II 40 MA Br. XLIII 71 *S*MA (lemma: II *Ἐκ τῶν προτρεπτικῶν εἰς φιλοσοφίαν* [*ἐκ φιλοσοφ'* M[d]] *λόγων* MA, om. Br.: XLIII *Ἰαμβλιχ* *S*, cum XLIII 67 cohaer. in MA) ‖ 10. 11 *καθάπερ — ζῆν* Stob. Flor. XLVI 70 *S*MA (lemma *Ἰαμβλίχου ἐκ τῶν προτρεπτ. εἰς* (sic M: *πρὸς* A) *φιλοσ. λόγων* MA: *Ἰαμβλιχ* *S*).

1 *πρὸς*] *εἰς* Stob. Tr. ‖ *τύχης* Stobaeus; quod si verum est, scribas in proximis *ἔκθετοι* ‖ 2 *περὶ — παραμονῆς* delevit Hemsterhusius: loco inscriptionis habenda putat K ‖ 4 *ἀπιστητέον* Cobet ‖ 8 *καὶ ἐπισφαλὲς καὶ ὅμοιον*] immo *ὁμοίως ἐπισφαλὲς* cum Stobaeo ‖ 9 *μοχθηρῷ*] *πονηρῷ* Stobaei (t. II) codex A ‖ 10 *ὑποπύῳ* et *κάεσθαι* Stobaeus, ubi mox *οὕτω* (sic MA*S*) *καὶ τῷ* ‖ 14 *καὶ* [*τὸ*] *θεῖον, καὶ μεγαλοψύχους* tentabat Diels ‖ 15 *τε* delevi.

λογιζόμεθα. καὶ τὸν θεὸν σεβόμεθα κατὰ τρόπον, εἰ τὸν ἐν ἡμῖν νοῦν παρασκευάσαιμεν πάσης κακίας ὥσπερ τινὸς κηλῖδος καθαρόν. κοσμητέον ἱερὸν μὲν ἀναθήμασι, τὴν δὲ ψυχὴν μαθήμασιν. ὡς πρὸ τῶν μεγάλων μυστηρίων τὸ μικρὰ παραδοτέον, καὶ πρὸ φιλοσοφίας παιδείαν. ὁ μὲν τῆς γῆς καρπὸς δι' ἐνιαυτοῦ, καθ' ἕκαστον δὲ ὥρας μόριον ὁ ⟨τῆς⟩ φιλοσοφίας ἀποδίδοται. καθάπερ χώρας μάλιστα ἐπιμελητέον τῷ τῆς ἀρίστης ἐπιτυχόντι, καὶ ψυχῆς, ὅπως τῆς φύσεως ἄξιον ἐνέγκηται τὸν καρπόν.

Τοιαῦτα ἄν τις ἀπὸ τῶν ἐναργῶν γνωμικὰ ὁμοιώματα παρατιθέμενος κοινῶς ἂν εἰς φιλοσοφίαν προτρέψειεν.

III. Ἔστι δὲ καὶ ἄλλος τύπος γνώμαις χρώμενος 22 K.
καὶ αὐτός, οὐκέτι δὲ διὰ παραβολῆς ἀντιπαρατιθεὶς τὰς 6 A.
ὁμοιώσεις, ἔμμετρος καὶ ἐναρμόνιος, γνήσιος τῶν ἀνδρῶν τούτων, ὃν ἔχομεν παρειληφότες ἐν ἄλλοις τε καὶ ἐν τοῖς Χρυσοῖς ἔπεσιν, ὧν ὀλίγα ἄττα δείγματα παραθετέον τὰ τοιαῦτα·

ταῦτα πόνει, ταῦτ' ἐκμελέτα, τούτων χρὴ ἐρᾶν σε·
ταῦτά σε τῆς θείας ἀρετῆς εἰς ἴχνια θήσει.

διὰ γὰρ τούτων εἰς πάντα τὰ καλὰ μαθήματά τε καὶ ἐπιτηδεύματα προτρέπει, μήτε πόνων φείδεσθαι οἰόμενος δεῖν, μήτε μελέτην ὑφιέναι μηδεμίαν, εἰς ἔρωτά τε καὶ προθυμίαν τῶν καλῶν διεγείρων, καὶ

3. 4 κοσμητέον — μαθήμ.] cf. Stob. Ecl. II 31, 53 (v. II p. 210, 16 sq. Wachsm.) ‖ 4. 6 ὡς — παιδείαν] cf. Stob. l. c. 27 (p. 206, 26 sqq.) ‖ 20 sq. Carm. Aur. vv. 45 sq.

1 καὶ delet Vitelli ‖ 7 τῆς addidit K ‖ 10 ἐνέγκῃ καὶ coni. K ‖ 18 ἅττα ‖ 20 ταῦτ' ἐκπό[ν]' ‖ 24 μελέτης ὑφιέναι μηδεμιᾶς vel μελέτην ἀφιέναι μηδεμίαν Hemsterhusius.

πάντα ταῦτα ἀνάγων εἰς τὴν τῆς ἀρετῆς ἐπιτήδευσιν οὐχ ἁπλῶς τῆς τυχούσης, ἀλλ' ἥτις ἡμᾶς ἀφίστησι
24 K. μὲν τῆς ἀνθρωπίνης φύσεως, ἐπὶ δὲ τὴν θείαν οὐσίαν καὶ τὴν γνῶσιν τῆς θείας ἀρετῆς καὶ τὴν κτῆσιν αὐτῆς περιάγει. ἀλλὰ μὴν εἴς γε τὴν θεωρητικὴν σοφίαν διὰ τούτων παρακαλεῖ·

τούτων δὲ κρατήσας
γνώσεαι ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
σύστασιν, ᾗ τε ἕκαστα διέρχεται ᾗ τε κρατεῖται·
γνώσῃ δ', ᾗ θέμις ἐστί, φύσιν περὶ παντὸς ὁμοίην,
ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν μήτε τι λήθειν.

τούτων γὰρ οὐκ ἔστιν ἄλλα θαυμασιώτερα τοῖς εὖ
7 A. πεφυκόσιν εἰς τὸ παρορμᾶσθαι γενναίως εἰς τὴν θεωρητικὴν φιλοσοφίαν. ἡ μὲν γὰρ γνῶσις τῶν θεῶν ἀρετή τέ ἐστι καὶ σοφία καὶ εὐδαιμονία τελεία, ποιεῖ τε ἡμᾶς τοῖς θεοῖς ὁμοίους, ἡ δὲ τῶν ἀνθρωπίνων ἐπιστήμη τάς τε ἀνθρωπίνας ἀρετὰς παρέχει καὶ τῶν ἡμετέρων πραγμάτων ἐμπείρους ποιεῖ, τά τε ἀπὸ τούτων ὠφέλιμα καὶ βλαβερὰ διακρίνει, καὶ τὰ μὲν φυλάττεται τὰ δὲ περιποιεῖ, καὶ ὅλως τὴν σύστασιν ἥτις ἐστὶ τῆς ἀνθρωπίνης ζωῆς λόγῳ τε καὶ ἔργῳ καταμανθάνει.
26 K. τὸ δὲ θαυμασιώτατον ἐκεῖνο διδάσκεται ἀπὸ τῆς τοιαύτης εἰδήσεως, κατὰ τί διέρχεται εὐλύτως καὶ ἀκωλύτως ἕκαστα τῶν ἐν ἡμῖν, ὅσα ἐστὶ τῆς κρείττονος μοίρας, καὶ κατὰ τί κρατεῖται καὶ κωλύεται, ὥστε μὴ δύνασθαι ῥᾳδίως ἐξιέναι καὶ τῶν δεσμῶν ἀπολύεσθαι.

7 sqq. Carm. Aur. vv. 49—53.

11 ἄελπτα ‖ 14 θείων Reinesius, cf. Nauck ad Vit. Pyth. p. 89, 14. Plutarch. Plac. I Prooem. (ap. Diels, Doxograph. p. 273, 12) ‖ 16 ἀνθρώπων ex apographo Cizensi K ‖ 18 ἐπὶ τούτων coni. A.

Ἡ δὲ μετὰ ταύτην γνώμη εἰς φυσιολογίαν ποιεῖται
τὴν παράκλησιν καὶ πᾶσαν τὴν περὶ τὸν οὐρανὸν θεω-
ρίαν. ἡ γὰρ τούτου φύσις ἀεί ἐστιν ὁμοία κατὰ τὴν
αὐτὴν περιφορὰν ὡσαύτως περιοῦσα, ἣν ἐάν τις κατα-
μάθῃ, οὔτ' ἂν ἀπροσδόκητά ποτε προσδοκήσειεν, οὔτ'
ἂν ἀγνοήσειέ τι τῶν κατ' ἀνάγκην αὐτῷ μελλόντων 8 A.
συμβαίνειν.

Αἱ δὲ ἐπὶ τούτοις γνῶμαι ἀπὸ τῆς προαιρετικῆς ἐν ἡμῖν ζωῆς ποιοῦνται τὴν παράκλησιν, οἷον

γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας
τλήμονας.

εἰ γὰρ ἀρχαὶ τῶν πράξεών εἰσιν οἱ ἄνθρωποι, καὶ 28 K.
δύναμιν ἔχουσιν ἐξ ἑαυτῶν οἰκείαν εἰς αἵρεσιν τῶν
ἀγαθῶν καὶ φυγὴν τῶν κακῶν, ὁ μὴ χρώμενος ταύτῃ
τῇ δυνάμει τῶν δοθέντων ἐκ φύσεως αὐτῷ πλεον-
εκτημάτων ἐστὶν ἀνάξιος. οὐδὲν οὖν ἄλλο λέγει ἢ
τοῦτο, ὅτι ἡμεῖς τὸν δαίμονα αἱρούμεθα, καὶ ὅτι αὐτοὶ
ἑαυτοῖς ἐσμεν ἐν τύχης τάξει καὶ δαίμονος, καὶ ὅτι
εὐδαίμονας αὐτοὶ ἑαυτοὺς παρασκευάζομεν· ὃ πρὸς
μόνον τὸ καλὸν προτρέπει καὶ τὴν τούτου τιμὴν δι'
ἑαυτὸ αἱρετὴν ἐπιδείκνυσι.

Παραπλήσια δὲ τούτῳ καὶ τὰ τοιαῦτά ἐστιν·

---

10 sq. Carm. Aur. vv. 54 sq.

---

4 περιιοῦσα A: περιιοῦσαν (cf. Plat. Theaet. p. 153 C) Hemsterhusius: vel hoc vel ⟨καὶ⟩ κατὰ scripserit K. servandam duxi atticam verbi περιιέναι formam: cf. Voemel ad Demosth. IV 10 (Thuc. 1, 30, 3. Xen. Hell. 3, 2, 25), Epicurus ap. D. L. X 114 (Usener, Epicur. p. 53, 17), et comicorum loci quos composuit Iacobi in Indice dict. com. p. 832 s. v. περίειμι ‖ 5 οὔτ' ἂν (priore loco) A: οὐ τὰ ‖ 10 δὲ ‖ 21 αὐτὸ Hemsterhusius: 'auctor in animo habuit μόνον τὸ καλὸν καὶ δι' ἑαυτὸ αἱρετόν' K ‖ αἱρετὴν A: ἀρετὴν.

οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν
οὔτε κλύουσι, λύσιν δὲ κακῶν παῦροι συνιᾶσι.

τὸ γὰρ ἐγγὺς εἶναι τἀγαθὰ καὶ συμπεφυκέναι ἡμῶν
τῇ ψυχῇ πάντων δὲ ὑπάρχειν οἰκειότατα ἡμῖν, θαυ-
μαστῶς ἐστι προτρεπτικά. καὶ τὸ μήτε ὁρᾶν μήτε
ἀκούειν, ὑπὸ δὲ τῆς αἰσθήσεως ἐπισκοτεῖσθαι, δαι-
30 K. μονίως εἰς τὴν νοερὰν ζωὴν παρακαλεῖ, ὡς τοῦ νοῦ
μόνου καὶ ὁρῶντος πάντα καὶ ἀκούοντος. ἡ δὲ ἀπαλ-
9 A. λαγὴ τῶν κακῶν, ἣν ὀλίγοι καθορῶσι, προτρέπει εἰς
τὴν λύσιν τὴν ἀπὸ τοῦ σώματος καὶ τὴν ζωὴν τὴν
καθ' ἑαυτὴν τῆς ψυχῆς, ἥντινα μελέτην θανάτου
προσαγορεύομεν.

Καὶ ἄλλος δ' ἐστὶ προτρεπτικὸς τρόπος ἐφεξῆς ἀπὸ τῆς διαβολῆς τῶν κακῶν. οὐ γὰρ ἀνεκτόν ἐστι κυλινδρίοις ἐοικότας

ἄλλοτ' ἐπ' ἄλλα φέρεσθαι, ἀπείρονα πήματ' ἔχοντας.

τὸ γὰρ βίαιον καὶ ἀλόγιστον καὶ εἰκῇ φερόμενον καὶ ἄλλοτε ἀλλοῖον καὶ μάλιστα τὸ ἀπέραντον ἡ κακία παρίστησιν, ἃ δεῖ διαφερόντως φεύγειν.

Ἡ δὲ μετὰ ταῦτα γνώμη ἐστὶ τοιαύτη·

λυγρὰ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
σύμφυτος, ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγειν.

ἐνταῦθα καὶ τὸ διττὸν τῆς ἀνθρωπίνης φύσεως ἐπέδειξε, καὶ τὸ παραπεφυκὸς ἡμῖν ἀπὸ τῆς γενέσεως

---

1 sqq. Carm. Aur. vv. 55 sq. ‖ 5 sqq. cf. Epicharm. ap. Mullach I p. 144 (Lorenz, p. 255 sq.). Vit. Pyth. p. 158, 16 sqq. Nauck et infra Protr. p. 178, 16 sqq. Kiessl. ‖ 11 cf. Plat. Phaedon. p. 67 D (Stallbaum ad p. 64 A) ‖ 16 et 21 sq. Carm. Aur. vv. 58—60.

---

2 λῦσιν et συνίασι ‖ 15 κυλίνδροις A.

ἀλλότριον ζῷον, ὅπερ οἱ μὲν πολυκέφαλον θηρίον,
οἱ δὲ θνητόν τι ζωῆς εἶδος, ἄλλοι δὲ φύσιν γενεσιουρ-
γὸν καλοῦσιν· ἐνταῦθα δὲ ἔριν σύμφυτον ἐπω-
νόμασεν, οὐχ ὡς ἴσην τάξιν ἔχουσαν ἡμῶν πρὸς τὴν
κυριωτάτην ζωήν, ἀλλ' ὡς συνοπαδὸν συνακολουθοῦ- 32 K.
σαν τῇ πρεσβυτέρᾳ ζωῇ. ταύτην δὴ οὖν παραγγέλλει
φεύγειν, ἀντὶ δὲ ταύτης ἀνταλλάττεσθαι τὴν ἄνευ
ἐναντιώσεως ἑνοειδῆ νοερὰν ἐνέργειαν, ἥτις ἀντὶ μὲν 10 A.
τοῦ βλάπτειν ἀγαθοειδής ἐστιν, ἀντὶ δὲ τοῦ ῥέπειν
εἰς ὄλεθρον σωτηρίας ἀρχὴν παρέχει, καὶ τὴν μὲν
ἐπεισοδιώδη καὶ δευτέραν συνεπομένην ὑπόστασιν
ὡς ἀλλοτρίαν ἐκτὸς μεθίησι, τὴν δὲ πρωτουργὸν καὶ
ἀφ' ἑαυτῆς καὶ ἐν ἑαυτῇ πάντα ἔχουσαν τελεωτάτην
ζωὴν προσείληφε. διὰ πάντα οὖν ταῦτα ἐκείνην
μὲν ὡς ἐπὶ βραχύτατον συστέλλειν ἄξιον, ταύτην 34 K.
δὲ προάγειν ὡς ἐπὶ πλεῖστον· καὶ οὕτως εἰς τὴν κατὰ
νοῦν ζωὴν ἡ τοιαύτη προτροπὴ γέγονεν ἀνυσιμωτάτη.

Πρός γε μὴν τὴν θείαν τελειότητα καὶ τὴν μετὰ θεῶν συνεπομένην ἀρίστην κατάστασιν αἱ τοιαῦται γνῶμαι παρακαλοῦσι·

Ζεῦ πάτερ, ἦ πολλῶν γε κακῶν παύσειας ἅπαντας,
εἰ πᾶσιν δείξεις οἵῳ τῷ δαίμονι χρῶνται.
ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν.

ἐν δὴ τούτοις μία μὲν ἀρίστη παράκλησις εἰς τὴν θείαν εὐδαιμονίαν ἡ μεμιγμένη ταῖς εὐχαῖς καὶ ἀνακλήσεσι τῶν θεῶν καὶ μάλιστα τοῦ βασιλέως αὐτῶν

1 πολυκ. θηρ.] Plat. Civit. IX p. 588 C ‖ 21 sqq. Carm. Aur. vv. 61—63.

3 ἐπωνόμασεν scripsit K: ἐπωνόμασαν ‖ 21 γε] τε. cf. Nauck ad h. vers. ‖ 22 πᾶσι ‖ δείξαις Carm. Aur.

Διός, δευτέρα δὲ ἡ τοῦ δοθέντος καὶ συγκληρωθέν-
τος ἡμῖν ἀπὸ τῶν θεῶν δαίμονος δεῖξις ἐμφανὴς καὶ
11 A. δι' αὐτοῦ πάλιν πρὸς τοὺς θεοὺς ἀναγωγή. οὐδὲ γὰρ
ἂν ἄλλως τις δυνηθείη πρὸς τὸ θειότατον ἑαυτοῦ
καὶ κυριώτατον τῆς οὐσίας ἀναδραμεῖν, εἰ μὴ τῷ
36 K. τοιούτῳ δαίμονι ἡγεμόνι χρήσαιτο, ὃν δεῖ πάντα τὸν
ἐραστὴν τῶν θεῶν γνησίως ἀποκαθαίρειν. ἀφ' οὗ δὴ
πρώτη μὲν ἔσται κακῶν παῦλα τῶν συμπεφυκότων
ἡμῖν ἀπὸ τῆς γενέσεως, ἔπειτα γνῶσις ἡμῖν ἀληθινὴ
παρέσται τῆς δαιμονίας καὶ μακαρίας ζωῆς, ὅση τίς
ἐστι καὶ ὁποία· μεθ' ἧς ἀνιόντες τὸ ἀρχηγὸν θεῖον
γένος τῶν ἀνθρώπων κατοψόμεθα, καὶ εἰς αὐτὸ ἐνι-
δρυθέντες τέλος ἕξομεν τοῦ προτεθέντος ὑπὸ τῶν
θεῶν τοῖς ἀνθρώποις μακαριωτάτου βίου.

Ἐπὶ τέλει τοίνυν πρὸς τὴν μετάστασιν τῆς ψυχῆς προτρέπει καὶ τὴν ζωὴν αὐτῆς τὴν καθ' ἑαυτήν, καθ' ἣν ἀπήλλακται τοῦ σώματος καὶ τῶν τῷ σώματι συνηρτημένων φύσεων. λέγει δὲ οὕτως·

ἡνίοχον γνώμην στῆσον καθύπερθεν ἀρίστην,
ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεὸς ἄμβροτος, οὐκέτι θνητός.

τὸ μὲν οὖν ἐν τῇ ἀνωτάτω τάξει τὸν ἄριστον νοῦν
ἡγεμόνα προστήσασθαι, τῆς ψυχῆς ἀκραιφνῆ τὴν
38 K. ὁμοιότητα διασῴζει πρὸς τοὺς θεούς, εἰς ἣν καὶ

19 sqq. Carm. Aur. vv. 69—71.

2 fort. καὶ ⟨ἡ⟩ ‖ 10 sq. ὅση (η ex corr.) et ὁποῖα ‖ 18 et p. 16, 3 φύρσεων et φύρσιν? Vitelli, cui tum vocis φύραμα usus (ex gr. Marc. Anton. Comm. 7, 68 p. 94, 20 Stich.), tum alii scriptorum loci obversabantur, inprimis Plat. Phaedon. p. 66 C (infra p. 184, 1 Kiessl.). praeterea conferri iubet Valckenaer ad Eur. Hipp. 1114 p. 283. at cf. Phaedon. p. 67 A (infra p. 186, 16 Kiessl.)? ‖ 23 distinguit post ψυχῆς.

προτρέπει πρώτως· τὸ δ' ἀπολιπεῖν τὸ σῶμα καὶ μεταστῆναι εἰς τὸν αἰθέρα, μεταλλάττειν καὶ τὴν ἀνθρωπίνην φύσιν εἰς τὴν τῶν θεῶν καθαρότητα 12 A. καὶ ἀντὶ θνητοῦ βίου ἀθάνατον ζωὴν προαιρεῖσθαι, εἰς τὴν αὐτὴν οὐσίαν τε ἀποκαθίστασθαι παρέχει καὶ μετὰ θεῶν περίοδον, ἥνπερ εἴχομεν καὶ πρότερον πρὶν ἐλθεῖν εἰς ἀνθρώπινον εἶδος. πέφηνεν ἄρα καὶ ἡ τῶν τοιούτων παρακλήσεων μέθοδος εἰς ὅλα τὰ γένη τῶν ἀγαθῶν καὶ πρὸς πάντα τὰ εἴδη τῆς βελτίονος ζωῆς ἡμᾶς προτρέπουσα.

IV. *Εἰ δὲ δεῖ λοιπὸν καὶ ἐπὶ τὰς ἐσωτερικάς τε* καὶ ἐπιστημονικὰς προτροπὰς ὁρμῆσαι, προχειρισώμεθα πρώτας ἐκείνας, ὅσαι μετὰ τοῦ διδαχὴν παρέχειν τῶν κυριωτάτων καὶ πρώτων οὐσιῶν ὁμοῦ καὶ προτρέπουσιν ἐπὶ τὴν θεολογικὴν καὶ νοερὰν αὐτῶν ἀνεύρεσίν τε καὶ μάθησιν, καὶ πρὸς τὴν πρεσβυτάτην σοφίαν παρακαλοῦσιν. Ἀρχύτας τοίνυν ἐν τῷ Περὶ σοφίας εὐθὺς ἀρχόμενος προτρέπει οὕτως· 'τοσοῦτον 40 K. διαφέρει σοφία ἐν πᾶσι τοῖς ἀνθρωπίνοις πράγμασιν, ὅσον ὄψις μὲν αἰσθασίων σώματος, νόος δὲ ψυχᾶς, ἅλιος δὲ ἄστρων. ὄψις τε γὰρ ἑκαβολεστάτα καὶ πολυειδεστάτα τᾶν ἀλλᾶν αἰσθασίων ἐντὶ καὶ νόος ὕπατος λόγω καὶ διανοίας τὸ δέον ἐπικραίνων καὶ ὄψις καὶ δύναμις τῶν τιμιωτάτων ὑπάρχων. ἅλιός γε μὰν ὀφθαλμός ἐντι καὶ ψυχὰ τῶν φύσιν ἐχόν- 13 A.

18 sqq. Archytae fragmenta v. in Mullach I p. 558 sqq.

20 πράγμασιν m. rec. marg. Laur. 86, 29: σώμασιν ‖ 23 ἐντὶ K: ἐστὶ ‖ λόγῳ ‖ 24 et p. 17, 26 διανοίας (cl. p. 18, 1) coni. K: διανοία ‖ 24 Galei (opusc. Mythol. p. 732) coniecturam ἐπικρίνων improbat I. Conr. Orelli (opusc. vet. sentent. II p. 682).

των· ὁρῆταί τε γὰρ δι' αὐτῶ πάντα καὶ γεννῆται καὶ νοῆται, ῥιζωθέντα καὶ γενναθέντα δὲ τράφεταί τε καὶ ἀέξεται καὶ ζωπυρῆται μετ' αἰσθάσιος.' πάνυ ἐπιστημονικῶς ἐνταῦθα τήν τε φύσιν καὶ ἐνέργειαν τῆς σοφίας ἐπιδείκνυσι, καὶ ἀπὸ 42 K. τοῦ χρησιμωτάτην αὐτὴν εἶναι καὶ ἡγεμονικωτάτην ποιεῖται τὴν προτροπὴν ἐπὶ τὸν νοῦν καὶ τὴν θεωρίαν. καὶ ἄλλο δὲ θαυμάσιον οἷον εἰς προτροπὴν ἀγαθὸν παρέχεται· ἀπὸ γὰρ τῶν γνωρίμων ποιεῖται τὴν ὑπόμνησιν δι' ἀναλογίας ἐναργοῦς. τὸ γὰρ ὄψιν εἶναι ὀξυτάτην τῶν αἰσθήσεων καὶ ἀκριβεστάτην καὶ τιμιωτάτην πᾶσι πρόδηλον, καὶ τὸ τὸν ἥλιον τῶν ἄστρων ὑπερέχειν οὐδένα λέληθε, καὶ τὸ τὸν νοῦν τῆς ψυχῆς εἶναι ἐξάρχοντα ἐν ταῖς κοιναῖς ἐννοίαις προειλήφαμεν. ἀπὸ δὴ τούτων τὸ διαφέρον παραδηλοῖ τῆς σοφίας πρὸς ἅπαντα τὰ ἀνθρώπινα πράγματα γνωρίμως καὶ ἐπιστημονικῶς, ὥστε εὐμαθὲς εἶναι τὸ ἀληθὲς καὶ εὔληπτον τοῖς ἀκούουσι τὸ κρυπτόμενον ἐν ἀφανεῖ. πρὸς τούτοις τοίνυν καὶ ἀπὸ τῶν διαφορῶν ἑκάστου ἥ τε εἴδησις τῆς σοφίας καὶ ἡ πρὸς αὐτὴν προτροπὴ ἀναδιδάσκεται. τοῦτο μὲν γάρ, εἰ ἡ 14 A. ὄψις ἑκαβολεστάτα καὶ πολυειδεστάτα τᾶν ἀλλᾶν αἰσθασίων ἐντί, καὶ ἡ σοφία κατὰ τὰ αὐτὰ τὰ πορρωτάτω ἀφεστηκότα ὡς παρόντα νοεῖ καὶ πάντων τῶν ὄντων τὰ εἴδη περιείληφεν ἐν ἑαυτῇ· τοῦτο δέ, εἰ ὁ νόος ὕπατος λόγω καὶ διανοίας τὸ δέον 44 K. ἐπικραίνων καὶ ὄψις καὶ δύναμις τῶν τιμιωτάτων ὑπάρχων, πάντως που καὶ ἡ σοφία ὡσαύτως

3 τε post τράφεται transposui, quod post ζωπυρῆται legebatur; cf. ad p. 18, 9 ‖ 15 num ἀποδηλοῖ? ‖ 23 ἐντί K: ἐστί ‖ 24 πορρω$^{τ^{τ}}$.

ὑπερέχει λόγου καὶ διανοίας καὶ ταῖς ἁπλουστέραις
τούτων ἐπιβλητικαῖς νοήσεσι τὰ ὄντα θεωρεῖ, τά τε
ἀγαθὰ κρίνει ἀφ' ἑαυτῆς καὶ ἐπιτελεῖ ἐν ἑαυτῇ, τῶν
τε νοητῶν ἐστιν ὄψις καὶ δύναμις τῶν θειοτάτων καὶ
τελειοτάτων ἐνεργειῶν ὑπάρχει· τοῦτο δ' αὖ, εἰ ὁ
ἥλιος ὀφθαλμός ἐντι καὶ ψυχὰ τῶν φύσιν ἐχόν-
των· ὁρῆταί τε γὰρ δι' αὐτῶ πάντα καὶ γεννῆ-
ται καὶ νοῆται, ῥιζωθέντα καὶ γενναθέντα δὲ
τράφεταί τε καὶ ἀέξεται καὶ ζωπυρῆται μετ'
αἰσθάσιος· δῆλόν που καὶ ἀπὸ τούτων γίγνεται ὡς
ὀφθαλμός ἐστι καὶ ζωὴ τῶν νοερῶν ἡ σοφία, καὶ τὸ
ὁρᾶσθαι τοῖς νοουμένοις παρέχει πᾶσι καὶ τὸ εἶναι 15 A.
τοῖς οὖσι, δημιουργίας τε πάσης ἀρχηγὸς γίγνεται ἐν
τῷ κόσμῳ καὶ γεννήσεως τῆς πρώτης καὶ τάξεως, καὶ
δὴ καὶ ἐν ἡμῖν ὡσαύτως. τὴν δὴ τοιαύτην τε καὶ
τοσαύτην αἰτίαν καὶ τοσαῦτα ἀγαθὰ παρέχουσαν τίς 46 K.
οὐκ ἂν μετὰ μεγάλης σπουδῆς μεταθέοι ἂν προθύμως,
βουλόμενος τῆς ἀρίστης εὐδαιμονίας μεταλαμβάνειν;

Ἡ μὲν οὖν ἀπὸ τοῦ τίμιον εἶναι τὴν σοφίαν
προϊοῦσα εἰς προτροπὴν ἔφοδός ἐστι τοιαύτη, ἡ δὲ ἀπὸ
τοῦ ὄντως ἀνθρώπου ὑπομιμνήσκουσα τῆς ἐπὶ τὰ αὐτὰ
προτροπῆς διὰ τῶν ἑξῆς ἐπιδείκνυται τῶν οὕτω λεγο-
μένων· 'ἄνθρωπος πάντων ζῴων ἐπὶ πολλὸν
γέγονε σοφώτατος· θεωρῆσαί τε γὰρ δυνατός
ἐντι τὰ ἐόντα καὶ ἐπιστάμαν καὶ φρόνασιν
λαβὲν αὐτῶν ἁπάντων. παρὸ καὶ ἐνεχάραξε
[καὶ ἐπεσημήνατο] τὸ θεῖον αὐτῷ τὸ τῶ παντὸς
λόγω σύσταμα, ἐν ᾧ τά τε εἴδεα πάντα τῶ

7 γεννᾶται ‖ 9 τε post τράφεται traieci; est in codice post ἀέξεται ‖ 25 ἐντι K: ἐστι ‖ 26 λαβὲν Gale p. 733: λάβεν ‖ 27 καὶ ἐπεσημήνατο delevit Vitelli.

48 K ἐόντος ἐνδέδασται καὶ ταὶ σαμασίαι [τε] τῶν
ὀνυμάτων τε καὶ ῥημάτων. τοῖς μὲν γὰρ φθόγ-
γοις τᾶς φωνᾶς τόπος ἀφώρισται φάρυγξ καὶ
στόμα καὶ ῥῖνες. ὥσπερ δὲ τῶν φθόγγων, δι'
ὧν τὰ ὀνύματά τε καὶ ῥήματα τυπούμενα σαμαί-
νεται, γέγονεν ἄνθρωπος ὄργανον, οὕτω δὲ
16 A. καὶ τῶν νοαμάτων ἐν τοῖς ἐόντεσσιν † ὀπτιζο-
μένοις. ἔργον σοφίας τοῦτο δοκεῖ μοι ἦμεν,
ποθ' ὅπερ καὶ γέγονε καὶ συνέστα ὁ ἄνθρωπος
καὶ ὄργανα δὲ καὶ δυνάμεις εἴλαφε παρὰ τῶ
θεῶ.' αὕτη ἡ ἔφοδος ἐπὶ τὴν προτροπὴν ἀπὸ τῆς
φύσεως γέγονε τοῦ ἀνθρώπου. εἰ γὰρ σοφώτατός
ἐστι καὶ θεωρῆσαι τὰ ὄντα δυνατός, τῆς θεωρητικῆς
αὐτὸν καὶ θεολογικῆς σοφίας δεῖ ἀντιποιεῖσθαι· καὶ
εἴπερ ἐπιστήμην καὶ φρόνησιν λαβεῖν ἁπάντων δύναμιν
50 K. ἔχει παρὰ τῆς φύσεως, τὴν ἀποδεικτικὴν ἐπιστήμην
αὐτὸν δεῖ μεταδιώκειν καὶ τὴν κατὰ φρόνησιν ἀρετὴν
ὡς μάλιστα αὐτῷ πρέπουσαν. διότι γε μὴν ἐνετυ-
πώσατο ἐν αὐτῷ τὸ θεῖον τὸ τοῦ παντὸς λόγου
σύστημα, ἐν ᾧ καὶ τὰ εἴδη πάντα τῶν ὄντων καὶ αἱ
σημασίαι ἐνυπάρχουσι τῶν ὀνομάτων τε καὶ ῥημάτων,
διὰ τοῦτο τῆς λογικῆς αὐτὸν φιλοσοφίας πάσης ἀντι-
λαμβάνεσθαι προσήκει, ἐπειδὴ οὐ τῶν σημαινομένων
μόνον ⟨διὰ τῶν φθόγγων ὄργανον⟩ γέγονεν ὁ ἄν-
θρωπος, ἀλλὰ καὶ τῶν νοημάτων τῶν ἐν τοῖς οὖσι

1 ἐνδέδασται] cf. Kiessling ad Vit. Pyth. p. 410 (§ 201) ‖ ταὶ] ται ‖ τε delet K ‖ 3 τᾶς φωνᾶς ‖ 7 ὀπτιζομένοις corruptum: ὀπτιζομένων Gale: ὀπτιζομένοις θεαρός. καὶ τοῦτο δοκεῖ (deletis ἔργον σοφίας) scripsit K ‖ 8 σοφίας· τοῦτο ‖ 9 ποθ' ὅπερ Vulcanius: πόθ' ἅπερ ‖ 18 ἐνετυπώσατο Vitelli: ἀνετυπώσατο ‖ 24 διὰ τῶν φθόγγων ὄργανον addidi: διὰ τῶν φθόγγων μόνον γέγ. ὁ ἄνθρ. ὄργανον coni. K.

θεωρὸς ὑπάρχει, καὶ πρὸς τοῦτο γέγονε καὶ ὄργανα καὶ δυνάμεις εἴληφε παρὰ τοῦ θεοῦ. διὰ ταῦτα δὴ πάλιν περὶ πᾶν τὸ ὄν, ᾗ ὄν, τῆς θεωρητικῆς σοφίας ἐφίεσθαι αὐτὸν χρή, καὶ τὰς ἀρχὰς καὶ τὰ κριτήρια 17 A. πάσης γνώσεως μεταθεῖν ἐπιστημονικῶς περὶ πάντα τὰ γένη τῶν ὄντων· αὐτόν τε τὸν νοῦν καθ' ἑαυτὸν καὶ τὸν καθαρώτατον λόγον ἐπισκοπεῖσθαι ἄξιον· καὶ ὅσαι ἀπ' αὐτοῦ ἀρχαὶ ἐνδίδονται εἰς τὰ καλὰ καὶ ἀγαθὰ τοῦ ἀνθρωπίνου βίου, καὶ ὅσα περὶ ἀρετῶν ἐπιλογιζόμεθα καθόλου, καὶ ὅσα περὶ μαθημάτων ἢ ἄλλων τινῶν τεχνῶν ἢ ἐπιτηδευμάτων μανθάνομεν, προσήκει προθύμως ἀναδιδάσκεσθαι. καὶ οὕτω πρὸς 52 K. ὅλην τὴν φιλοσοφίαν καὶ ἡ ἀπὸ τῆς φύσεως τοῦ ἀνθρώπου ὁρμωμένη γέγονε παράκλησις.

Ποιεῖται δὲ καὶ ἄλλην σύμμικτον ἔφοδον ἐπὶ τὰ αὐτὰ προτρέπουσαν ὧδέ πως· 'γέγονε καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆσαι τὸν λόγον τὰς τῶ ὅλω φύσιος· καὶ τᾶς σοφίας ὧν ἔργον ⟨κτᾶσθαι⟩ καὶ θεωρὲν τὰν τῶν ἐόντων φρόνασιν.' ὃ δή φαμεν ἐν τούτοις σύμμικτον, ἐκεῖνό ἐστι· τῇ γὰρ ἰδίᾳ φύσει τὴν κοινὴν συνεκέρασεν, ὡς ἐχουσῶν τούτων συμφωνίαν πρὸς ἀλλήλας. εἰ γὰρ ὅ τε λόγος τοῦ ἀνθρώπου θεωρητικός ἐστιν ἐν τῷ λόγῳ τᾶς τῶ ὅλω φύσιος καὶ ἡ σοφία τοῦ ἀνθρώπου κτᾶται καὶ θεωρεῖ τὰν τῶν ἐόντων φρόνασιν, ὁμοῦ μὲν ὁμολογία οὖσα ἀποδέδεικται τῆς μεριστῆς τοῦ λόγου καὶ τῆς τοῦ 54 K. 18 A. ὅλου νοερᾶς φύσεως, ὁμοῦ δὲ καὶ ἡ προτροπὴ τελεω-

16. 19 γέγονε — φρόνασιν Perictione ap. Stob. Flor. I 62.

8 ὁρμαὶ Vitelli ‖ 18 σοφίας ὧν scripsit K: σοφίας· ὧν ‖ κτᾶσθαι addidit K ‖ 19 θέωρεν ‖ 23 τῶ ὅλω Gale: τῶ λόγω.

τέρα γέγονεν. οὐ γὰρ ἄλλως διαβιωσόμεθα κατὰ φύσιν, οὗ πάντες διαφερόντως ἐφιέμεθα, ἐὰν μὴ κατὰ λόγον ζῶμεν τὸν θεῖον καὶ τὸν ἀνθρώπινον, οὐδὲ ἄλλῃ πῃ εὐδαιμονήσομεν, ἐὰν μὴ κτησώμεθα διὰ φιλοσοφίας καὶ θεωρήσωμεν τὴν τῶν ὄντων φρόνησιν. ἄλλη τοίνυν ἐν τούτοις τοιαύτη νοείσθω σύμμιξις· ἐν ταὐτῷ γὰρ παρορμᾶν ἐπιχειρεῖ εἴς τε τὴν πρακτικὴν καὶ θεωρητικὴν φιλοσοφίαν. τὸ μὲν γὰρ κτήσασθαι φρόνησιν ποιητικῆς τινός ἐστι καὶ πρακτικῆς ἀρετῆς ἔργον, ἧς τέλος οὐ τὸ κατιδεῖν ἁπλῶς οὑτωσίν, ἀλλὰ τὸ προσλαβεῖν αὐτὸ διὰ τῶν ἐνεργειῶν, τό γε μὴν θεωρῆσαι τοῦ θεωρητικοῦ νοῦ ἐνέργημα ὑπῆρχε. πρὸς ἀμφότερα τοίνυν ἡ προτροπὴ δεόντως γέγονεν.

Ἐπεὶ τοίνυν μᾶλλον τὸ κοινὸν καὶ διατεῖνον ἐπὶ πάντα τῆς σοφίας ἀγαθὸν διαφαίνεται, καὶ ἡ προτροπὴ τελεωτέρα πρὸς αὐτὸ γίγνεται διὰ τῶν τοιούτων· 'ἁ σοφία οὐ περί τι ἀφωρισμένον ἐντὶ τῶν ἐόντων, 56 K. ἀλλ' ἁπλῶς περὶ πάντα τὰ ἐόντα, καὶ δεῖ μὴ πρώταν αὐτὰν τὰς ἀρχὰς αὐτᾶς ἀνευρέσθαι, ἀλλὰ τὰς 19 A. κοινὰς τῶν ἐόντων· οὕτω γὰρ ἔχει σοφία περὶ πάντα τὰ ἐόντα ὡς ὄψις περὶ πάντα τὰ ὁρατά. τὰ ὧν καθόλω πᾶσι συμβεβακότα συνιδὲν καὶ θεωρὲν τᾶς σοφίας οἰκῇον, καὶ διὰ τοῦτο σοφία τὰς τῶν ἐόντων ἁπάντων ἀρχὰς ἀνευρίσκει.' πάλιν γὰρ ἐνταῦθα οὐκ ἀφορίζει περί τι

16. 25 ἁ σοφία — ἀνευρίσκει] cf. Perictione ap. Stob. Flor. I 63.

10 κατιδεῖν ⟨τὸ ἀγαθὸν⟩? cf. Schol. ‖ 16 τελειωτέρα ‖ 19 αὐτᾶς (vel αὐταύτας) Vitelli: αὐτὰς ‖ 22 ὧν K: ὧν ‖ 22 et p. 22, 5 καθό ‖ συμβεβηκότα et 23 οἰκεῖον: doricas formas servavit Stobaeus.

μέρος τὴν ἐνέργειαν αὐτῆς, ἀλλὰ κοινῇ διήκειν φησὶν ἐπὶ πάντα τὰ ὄντα, τάς τε ἀρχὰς τὰς κοινὰς τῶν ὅλων φησὶν αὐτὴν ἐπισκοπεῖν καὶ κατὰ γένη ταῦτα θεωρεῖν καὶ κατὰ ἁπλουστάτας ἐπιβολάς, ὥσπερ ἡ ὄψις τοῖς ὁρατοῖς ἐπιβάλλει, τούς τε καθόλου λόγους πάντων φησὶν αὐτὴν περιέχειν, καὶ πρὸς τούτῳ θεωρεῖν καὶ διαλογίζεσθαι· μόνην δὲ καὶ ἀνυπόθετον εἶναι ἐπιστήμην, ἅτε δὴ τῶν ὄντων πάντων τὰς ἀρχὰς ἀνευρίσκουσαν καὶ περὶ τῶν οἰκείων ἑαυτῆς ἀρχῶν δυναμένην λόγον διδόναι. εἰς καλὸν ἄρα συμβαίνει ἡ ἔφοδος τῆς προτροπῆς· εἰ γὰρ τῆς τοιαύτης σοφίας οὔτε καθολικωτέραν οὔτε τελειοτέραν οὔτε κοινοτέραν 58 K.
οὔτε αὐταρκεστέραν οὔτε ἀγαθοειδεστέραν ἢ καλλίονα δυνατὸν λογισμῷ λαβεῖν, ταύτης ἐφίεσθαι χρὴ τοὺς βουλομένους κατὰ λόγον καὶ νοῦν εὐδαιμονεῖν.

Ἐν τῷ τέλει τοίνυν πρὸς αὐτὸ τὸ ἀκρότατον ἄνεισιν ἡ παράκλησις ὧδέ πως· ‘ὅστις ὢν ἀναλῦσαι οἷός τέ 20 A.
ἐντι πάντα τὰ γένεα ὑπὸ μίαν τε καὶ τὰν αὐτὰν ἀρχὰν καὶ πάλιν συνθεῖναί τε καὶ συναριθμήσασθαι, οὗτος δοκεῖ μοι καὶ σοφώτατος ἦμεν καὶ παναλαθέστατος, ἔτι δὲ καὶ καλὰν σκοπιὰν εὑρηκέναι, ἀφ' ἅς δυνατὸς ἐσσεῖται τὸν θεὸν κατοψεῖσθαι καὶ πάντα τὰ ἐν τᾷ συστοιχίᾳ καὶ τάξει τᾷ ἐκείνω κατακεχωρισμένα, καὶ ταύταν ἁρματήλατον ὁδὸν ἐκπορι- 60 K.

17. 24 ὅστις ὢν — κατακεχωρισμένα Perictione l. c.

6 τοῦτο fort. recte K, nescio unde ‖ 7 πρώτην Vitelli ‖ 17 ὅστις ὢν] hinc novum caput (IV) in A ‖ τ' ἐντὶ K: τέ ἐστι ‖ 19 συναριθμάσασθαι coniecit K ‖ 21 παναλαθέστατος Gale: παναληθέστατος ‖ 24 τάξι Mullach (II p. 33) ‖ ἐκείνω K: ἐκείνου ‖ 25 ταύταν τὰν K, nescio unde.

σάμενος τῷ νόῳ κατ' εὐθεῖαν ὁρμαθῆμεν καὶ τελεοδρομᾶσαι τὰς ἀρχὰς τοῖς πέρασι συνάψαντα καὶ ἐπιγνόντα διότι ὁ θεὸς ἀρχά τε καὶ τέλος καὶ μέσον ἐντὶ πάντων τῶν κατὰ δίκαν τε καὶ τὸν ὀρθὸν λόγον περαινομένων.’ σαφῶς δὴ καὶ ἐν τούτοις τὸ τέλος ἐπέθηκε τῆς θεολογικῆς προτροπῆς, μὴ ἵστασθαι ἀξιῶν ἐπὶ τῶν πολλῶν ἀρχῶν καὶ πάντων τοῦ ὄντος γενῶν, ἀναλύσειν δὲ προθυμούμενος ὑπὸ μίαν τε καὶ τὴν αὐτὴν ἀρχὴν τὰ πάντα, ἀπὸ δὲ τῆς μιᾶς διαιρῶν κατὰ ἀριθμὸν ὡρισμένον τὰ πλησίον τοῦ ἑνὸς καὶ οὕτως ἀεὶ τὰ πορρωτέρω ἀφιστάμενα καὶ διιστάμενα ἐπισκοπῶν, ἕως ἂν ἐπὶ τὰ σύνθετα καὶ ἐκ πολλῶν συνεστηκότα συναριθμήσηται
21 A. τὸ πλῆθος· ἐπ' ἄμφω τε οὕτω προϊὼν ἱκανὸς ἦν ἀνάγειν τε ἑαυτὸν ἀπὸ τοῦ πλήθους ἐπὶ τὸ ἓν καὶ κατάγειν ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὸ πλῆθος. ἐπεὶ δὲ μάλιστα ἀλη-
62 K. θείας καὶ σοφίας ἐφιέμεθα, προτρέπων ἐπὶ τὴν τοιαύτην ἐπιστήμην σοφώτατον καὶ παναληθέστατόν φησιν εἶναι τὸν τὴν τοιαύτην διαιρετικὴν ἔχοντα ἐπιστήμην διὰ τῶν πρώτων εἰδῶν καὶ γενῶν, συνάγοντά τε αὐτὴν εἰς ἓν διὰ τῆς ὁριστικῆς ἐπιστήμης, τοῦ τε ἑνὸς ὄντα θεωρητικόν, ὅπερ τέλος ἐστὶ πάσης θεωρίας. καὶ τούτου δ' ἔτι κυριώτερον ἀγαθὸν ἐπήγαγε, τὸ ὥσπερ ἀπὸ σκοπιᾶς ἐντεῦθεν δύνασθαι τὸν θεὸν καθορᾶν καὶ πάντα τὰ ἐν τῇ συστοιχίᾳ τοῦ θεοῦ. εἰ γὰρ πάσης ἀληθείας καὶ εὐδαιμονίας οὐσίας τε καὶ αἰτίας καὶ τῶν ἀρχῶν ὁ θεὸς ἐξηγεῖται, σπουδαστέον ἐν τούτῳ

2 τελεοδρομάσαι ‖ συνάψας τε καὶ ἐπιγνοὺς Mullach: contra p. 22, 25 ἐκπορισάμενον I. Conr. Orelli (Opusc. vet. sentent. II p. 665) ‖ 4 ἐντὶ Mullach: ἐστι ‖ 8 malim ἀναλύειν vel, cum Scaligero, ἀναλῦσαι ‖ 14 ᾖ scripsit K ‖ 20 αὐτὰ Vitelli ‖ 25 συστοι.

μάλιστα ἐκείνην τὴν ἐπιστήμην κτήσασθαι, δι' ἧς
ἀτενίσει τις αὐτὸν καθαρὸν καὶ δι' ἧς πλατεῖαν εὑρήσει
τὴν πρὸς αὐτὸν πορείαν καὶ δι' ἧς τὰ τέλη ταῖς ἀρχαῖς
συνάψει. τελεωτάτη γὰρ ἡ τοιαύτη ζωὴ καὶ εὐδαι-
μονία, οὐκέτι διωρισμένως τὰ τελευταῖα ἀπὸ τῶν
πρώτων διακρίνουσα, ἀλλ' εἰς ἓν τὰ συναμφότερα
ταῦτα συλλαβοῦσα ἀρχάς τε καὶ τέλος καὶ μέσον ὁμοῦ
συνέχουσα. τοιαύτη γάρ ἐστιν ἡ θεία αἰτία, ἧς δεῖ
ἀντέχεσθαι τοὺς μέλλοντας εὐδαιμονήσειν. οὕτω μὲν
οὖν ἡ προτροπὴ διὰ πάντων διεξελθοῦσα τῶν τε ἐν 64 K.
ἡμῖν καὶ τῶν ἐν τῇ φύσει καὶ ὡς ἔπος εἰπεῖν διὰ πάν-
των τῶν ὄντων, συνεκεφαλαιώσατο πάσας τὰς ἐφόδους 22 A.
εἰς μίαν τὴν ἐπὶ τὸν θεὸν ἀνήκουσαν ἀναγωγήν.

V. *Δεῖ δὲ λοιπὸν αὐταῖς ταῖς Πυθαγορικαῖς διαι-
ρέσεσι προσχρῆσθαι εἰς τὸ προτρέπειν. πάνυ γὰρ
ἐντρεχῶς καὶ τελειότατα καὶ πρὸς τὰς ἄλλας φιλο-
σοφίας ἐξηλλαγμένως οἱ κατὰ τήνδε τὴν αἵρεσιν διῄρουν
ἑπόμενοι ταῖς ἐκείνου διδασκαλίαις τὸν εἰς παρόρμησιν
ἐπὶ φιλοσοφίαν λόγον, εὐμηχάνως ἐπιρρωννύντες καὶ
πιστούμενοι ἀποδείξεσιν ἐπιστημονικωτάταις μηδὲν ἀνα-
κόλουθον συναγαγούσαις. εἰσὶ δὲ τοιαῦται·*

*Πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν, εὖ δὲ
πράττομεν, εἰ ἡμῖν πολλὰ ἀγαθὰ παρείη. ἀγαθὰ δὲ
τὰ μέν ἐστι κατὰ σῶμα, ὥστε ἱκανῶς αὐτὸ παρ-
εσκευάσθαι πρὸς τὴν κατὰ φύσιν συμμετρίαν καὶ* 66 K.
*κρᾶσιν καὶ ῥώμην· τὰ δὲ ἐν τοῖς ἐκτός, ὥσπερ εὐγέ-
νειαι καὶ δυνάμεις καὶ τιμαὶ ἐν τῇ ἑαυτοῦ πατρίδι·*

22. p. 27, 2 cf. Plat. Euthyd. pp. 278 E—289 B.

2 fort. τις ⟨εἰς⟩ ‖ 16 τελειό$^{ττ'}$ ‖ 19 ἐπιρωννύντες ‖ 24 fort. κατὰ ⟨τὸ⟩ σῶμα cl. Plat. l. c. p. 279 A.

*τὰ δὲ περὶ ψυχήν, ὡς τὸ σώφρονά τε εἶναι καὶ δίκαιον
καὶ ἀνδρεῖον, καὶ διαφερόντως τὸ σοφὸν εἶναι· μεθ'
ὧν οὐ μικρὸν διαφέρει τὸ συνεπιλαμβάνειν καὶ τὴν
εὐτυχίαν ταῖς ὀρθαῖς πράξεσιν, ἤτοι ὑπὸ τῆς σοφίας
ἐπιφερομένην, ἢ καὶ καθ' αὑτὴν ἔχουσαν ἰδίαν τινὰ*
23 A. *δύναμιν. ἀλλ' οὐκ εὐθὺς εὐδαιμονοῦμεν διὰ τὰ παρ-
όντα ἀγαθά, εἰ μηδὲν ἡμᾶς ὠφελοῖ· ὠφελεῖ δὲ οὐδέν,
εἰ εἴη μόνον ἡμῖν, χρῴμεθα δὲ αὐτοῖς μή. οὐδὲ γὰρ
ἄλλο οὐδὲν παρὸν διὰ τὴν κτῆσιν ὠφελεῖ ἄνευ τοῦ
χρῆσθαι αὐτῷ, οὐδ' εἴ τις οὖν πλοῦτον καὶ ἃ νῦν
δὴ ἐλέγομεν ἀγαθὰ κεκτημένος εἴη, χρῷτο δὲ αὐτοῖς
μή, οὐκ ἂν εὐδαιμονοῖ διὰ τὴν τούτων τῶν ἀγαθῶν
κτῆσιν. δεῖ ἄρα μὴ μόνον κεκτῆσθαι τὰ τοιαῦτα
ἀγαθὰ τὸν μέλλοντα εὐδαίμονα ἔσεσθαι, ἀλλὰ καὶ
χρῆσθαι αὐτοῖς, ἢ οὐδὲν ὄφελος τῆς κτήσεως γίγνεται.
ἀλλ' οὐδὲ τὸ χρῆσθαι μόνον ἐξαρκεῖ, ἀλλὰ δεῖ προσ-*
68 K. *εἶναι τὸ ὀρθῶς χρῆσθαι. πλέον γὰρ θάτερόν ἐστιν,
ἐάν τις χρῆται μὴ ὀρθῶς ὁτῳοῦν πράγματι, ἢ ἐὰν ἐᾷ·
τὸ μὲν γὰρ κακόν, τὸ δὲ οὔτε κακὸν οὔτε ἀγαθόν.
ἀλλὰ μὴν ἔν γε τῇ χρήσει τε καὶ ἐργασίᾳ πάσῃ τῇ
περὶ ὁτιοῦν τὸ ἀπεργαζόμενον τὸ ὀρθῶς χρῆσθαι ἐπι-
στήμη παρέχεται· καὶ περὶ τὴν χρείαν οὖν ὧν ἐλέγομεν
τὸ πρῶτον τῶν ἀγαθῶν, πλούτου τε καὶ ὑγιείας καὶ
κάλλους, τὸ ὀρθῶς πᾶσι χρῆσθαι τοῖς τοιούτοις ἐπι-
στήμη ἡγουμένη καὶ κατορθοῦσά ἐστι τὴν πρᾶξιν. οὐ
μόνον οὖν εὐτυχίαν, ἀλλὰ καὶ εὐπραγίαν ἡ ἐπιστήμη*
24 A. *παρέχει τοῖς ἀνθρώποις ἐν πάσῃ κτήσει τε καὶ πράξει,
καὶ οὐδὲν ὄφελος τῶν ἄλλων κτημάτων ἄνευ φρονή-
σεώς τε καὶ σοφίας. τί γὰρ ὄφελος κεκτῆσθαι πολλὰ*

3 συμπεριλαμβάνειν Vitelli ‖ 8 χρώμεθα ‖ 9 ὠφε^{λ}῀ ‖ 11 χρῶτο.

καὶ πολλὰ πράττειν νοῦν μὴ ἔχοντα μᾶλλον ἢ ὀλίγα;
οὐχ ὁ μὲν ἐλάττω πράττων ἐλάττω ἐξαμαρτάνει, ἐλάττω
δ' ἐξαμαρτάνων ἧττον ἂν κακῶς πράττοι, ἧττον δὲ
κακῶς πράττων ἄθλιος ἂν ἧττον εἴη; συγχωρεῖν ἀναγ-
καῖον τούτοις, καὶ ὅτι ὁ μὲν τὰ εἰρημένα ἀγαθὰ κεκτη-
μένος ἄνευ νοῦ πλείονα πράξει, ὁ δὲ τὰ ἐναντία ἔχων
[τὰ κακὰ] ἐλάττονα. ἐν κεφαλαίῳ ἄρα κινδυνεύει
πάντα ἃ τὸ πρῶτον ἔφαμεν ἀγαθὰ εἶναι, οὐ περὶ
τούτου αὐτοῖς ὁ λόγος εἶναι, ὅπως αὐτά γε καθ'
αὑτὰ πέφυκεν ἀγαθὰ εἶναι, ἀλλ', ὡς ἔοικεν, ὧδε ἔχει· 70 K.
ἐὰν μὲν αὐτῶν ἡγῆται ἀμαθία, μείζω κακὰ εἶναι τῶν
ἐναντίων, ὅσῳ δυνατώτερα ὑπηρετεῖν τῷ ἡγουμένῳ
κακῷ ὄντι· ἐὰν δὲ φρόνησις καὶ σοφία, μείζω ἀγαθά
αὐτὰ δὲ καθ' αὑτὰ οὐδέτερα αὐτῶν οὐδενὸς ἄξια εἶναι.
μόνη τοίνυν ἡ μὲν σοφία ἀγαθόν ἐστιν, ἡ δὲ ἀμαθία
κακόν. ἐπειδὴ τοίνυν εὐδαίμονες μὲν εἶναι προθυμού- 25 A.
μεθα πάντες, ἐφάνημεν δὲ τοιοῦτοι γιγνόμενοι ἐκ τοῦ
χρῆσθαί τε τοῖς πράγμασι καὶ ὀρθῶς χρῆσθαι, τὴν δὲ
ὀρθότητα καὶ εὐτυχίαν ἐπιστήμη ἐστὶν ἡ παρέχουσα,
δεῖ δή, ὡς ἔοικεν, ἐκ παντὸς τρόπου πάντα ἄνδρα
παρασκευάζεσθαι, ὅπως ὡς σοφώτατος ἔσται· μόνον
γὰρ τοῦτο τῶν ὄντων εὐδαίμονα καὶ εὐτυχῆ ποιεῖ τὸν
ἄνθρωπον. ἀναγκαῖον οὖν φιλοσοφεῖν τοῖς βουλομέ-
νοις εὖ πράττειν· ἡ δὲ φιλοσοφία ὄρεξίς ἐστι καὶ κτῆ-
σις ἐπιστήμης, οὐχ ἥτις κτητικὴ μόνον ἐστὶ τῶν δο-
κούντων ἀγαθῶν, οὔθ' ἥτις ποιητικὴ αὐτῶν, χρηστικὴ
δὲ οὔ. τοιαύτης οὖν δεῖ ἐπιστήμης, ἐν ᾗ συμπέπτωκεν

2 sqq. cf. Trag. adesp. fr. 259, et quos ibidem locos attulit Nauck.

7 τὰ κακὰ delevi ‖ 26 οὔθ'] fort. οὐδ'.

ἅμα τό τε ποιεῖν καὶ τὸ ἐπίστασθαι καὶ χρῆσθαι τούτῳ
72 K. ὃ ἂν ποιήσῃ. εἰ τοίνυν αἱ μὲν ἄλλαι πᾶσαι ἐπιστῆμαι
θηρευτικαί τινές εἰσι καὶ παρασκευαστικαὶ τῶν ἀγαθῶν,
μόνη δὲ ἡ τελέα δικαιοσύνη καὶ φρόνησις τὴν κατ'
ἀξίαν χρῆσιν ποιοῦνται ἑκάστῳ καὶ ἀναφέρουσι ταύτην
πρὸς τὸν ἡγεμόνα νοῦν, αὕτη ἂν εἴη ἧς δεῖ ἀντι-
ποιεῖσθαι. καὶ γὰρ τὸ θεωρεῖν καὶ κρίνειν ἐν αὑτῇ
ἔχει καὶ τὰς ἀρχὰς ἔχει τῆς ὀρθῆς χρήσεως τῶν ἀγα-
θῶν, ἧς τυχόντες καλῶς ἂν τὸν ἐπίλοιπον βίον διεξέλ-
26 A. θοιμεν. τοιαύτη τίς ἐστιν ἡ ἐκ τῆς-⟨πρώτης⟩ διαιρέ-
σεως προτρεπτικὴ ἔφοδος.

Ἄλλη δέ ἐστι παρὰ αὐτοῖς τοιαύτη διαίρεσις· ὡς
ἔστι μέν τι ψυχὴ ἔστι δέ τι σῶμα ἐν ἡμῖν, καὶ τὸ
μὲν ἄρχει τὸ δὲ ἄρχεται, καὶ τὸ μὲν χρῆται τὸ δ'
ἐστὶ τοιοῦτον οἷον ᾧ χρῆται, καὶ τὸ μὲν θεῖον καὶ
ἀγαθὸν καὶ οἰκειότατον ἡμῖν, τὸ δὲ ἄλλως συνηρτη-
μένον ὑπουργίας τινὸς ἕνεκα καὶ χρείας ἐχόμενον τῆς
εἰς τὸν κοινὸν βίον τὸν ἀνθρώπινον. δεῖ τοίνυν τοῦ
ἄρχοντος μᾶλλον ἀλλὰ μὴ τοῦ ἀρχομένου, καὶ τοῦ θειο-
τέρου καὶ οἰκειοτέρου ἡμῖν ἀλλὰ μὴ τοῦ καταδεεστέρου
ἐπιμελεῖσθαι.

74 K. Ταύτῃ δ' ἐστὶ παραπλησία τοιαύτη διαίρεσις· ὡς
τριχῇ τὰ ἡμέτερα πάντα διῄρηται, εἴς τε ψυχὴν καὶ
σῶμα καὶ τὰ τοῦ σώματος· τούτων δὲ τὰ μέν ἐστι
πρῶτα, τὰ δὲ δεύτερα, τὰ δὲ τρίτα· καὶ προηγουμένως

9 sq. ἧς — διεξέλθοιμεν] cf. Plat. Euthyd. p. 293 A.

1 ἐπίστασθαι ex P scripsi: ποιεῖσθαι ‖ 5 ἑκάστου Vitelli ‖ 7 ἐν ἑαυτῇ (αὑτῇ scripsi) scripsit K: ἑαυτὴν ‖ 10 πρώτης (scil. A, quod facili errore excidit ante Δ) addidit Vitelli: ⟨ταύτης⟩ τῆς scripserat K: possis etiam ⟨τῆσδε⟩ τῆς ‖ 13 μέν τι scripsit K: μέντοι ‖ 15 οἷον ᾧ] οἵῳ scripsit fortasse recte K.

μὲν δεῖ στοχάζεσθαι τῶν τῆς ψυχῆς, τὰ δ' ἄλλα τῆς ψυχῆς ἕνεκα πράττειν· καὶ γὰρ τοῦ σώματος ἐπιμελεῖσθαι χρὴ ἀναφέροντας αὐτοῦ τὴν ἐπιμέλειαν ἐπὶ τὴν τῆς ψυχῆς ὑπηρεσίαν, καὶ τὰ χρήματα κτᾶσθαι δεῖ διὰ τὸ σῶμα, πάντα δὲ τῆς ψυχῆς ἕνεκα διατάττειν καὶ τῶν τῆς ψυχῆς ἀρχουσῶν δυνάμεων. εἰ δὴ τοῦτο οὕτως ἔχει, οὐδὲν τῶν δεόντων πράττουσιν ὅσοι χρημάτων μὲν πέρι τὴν πᾶσαν σπουδὴν ἔχουσι, δικαιοσύνης 27 A. δὲ ἀμελοῦσι δι' ἣν ἐπιστάμεθα ὀρθῶς χρῆσθαι τοῖς χρήμασι, καὶ τοῦ μὲν ζῆν καὶ ὑγιαίνειν φροντίζουσι τῷ σώματι, τοῦ δὲ ὀρθῶς χρῆσθαι τῇ ζωῇ καὶ τῇ ὑγείᾳ ἀμελοῦσι, καὶ τῆς μὲν ἄλλης παιδείας ἐπιμελοῦνται δι' ἣν οὐδέποτε ὁμονοητικὴν φιλίαν κτήσασθαι δύνανται, τὴν δὲ τῆς ὁμονοίας ἀρχηγὸν ἐπιστήμην παρορῶσιν ἥτις διὰ φιλοσοφίας μόνης κάλλιστα παραγίγνεται, καὶ ταῖς μὲν πράξεσιν ἐπιχειροῦσι, τὸ δὲ πῶς δεῖ πράττειν ἕκαστον τῶν ἔργων οὔτε ἴσασιν οὔτε λογίζονται.

Ἀπ' ἄλλης δὲ ἀρχῆς διαιροῦσι τὰ τοιαῦτα· χωρὶς 76 K. δήπουθέν ἐστιν αὐτὸς ἕκαστος, τὸ ἑαυτοῦ, ἅ ἐστι τῶν αὑτοῦ. αὐτὸς μὲν οὖν ἕκαστός ἐστιν ἡμῶν ἡ ψυχή, τὸ δ' αὑτοῦ ἐστι τὸ σῶμα καὶ τὰ τοῦ σώματος, ἃ δ' ἐστὶ τῶν αὑτοῦ, τὰ χρήματά ἐστιν, ὅσα τοῦ σώματος ἕνεκα κτώμεθα. καὶ ἐπιστῆμαι τοίνυν τρεῖς εἰσιν ἐπὶ τοῖς τρισὶ τούτοις πράγμασιν. ὁ μὲν οὖν τὰ τοῦ σώματος γινώσκων, τὰ αὑτοῦ ἀλλ' οὐχ αὑτὸν ἔγνωκεν.

7 sq. οὐδὲν — ἔχουσι] cf. Plat. Clitoph. p. 407 B ‖ 19. p. 29, 10 Plat. Alcib. I p. 130 E sqq.

4 τῇ ψυχῇ praetulerit Vitelli ‖ 7 post ὅσοι est μη deletum ‖ 21 αὑτοῦ K: αὐτοῦ ‖ 23 ἐστι ⟨καὶ⟩ ὅσα?

ὅθεν οἱ ἰατροὶ οὐχ ἑαυτοὺς γιγνώσκουσι καθόσον ἰατροί, οὐδὲ οἱ παιδοτρῖβαι καθόσον παιδοτρῖβαι. καὶ ὅσοι δὲ πορρωτέρω τῶν ἑαυτῶν τὰ περὶ τὸ σῶμα γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται, ὡς οἱ γεωργοὶ 28 A. καὶ οἱ ἄλλοι δημιουργοί, πολλοῦ δὴ δέουσιν ἑαυτοὺς γιγνώσκειν· οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοι γιγνώσκουσι. διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι. μόνη δὲ σωφροσύνη ἐστὶν ἡ τῆς ψυχῆς γνῶσις, καὶ τῷ ὄντι ἡμετέρα ἀρετὴ μόνη ἐκείνη ὑπάρχει, ἥτις τὴν ψυχὴν βελτίονα ἀπεργάζεται. ταύτης ἄρα μάλιστα ἀντιποιεῖσθαι ἄξιον τοὺς βουλομένους ὁμολογουμένως 78 K. τῇ ἑαυτῶν οὐσίᾳ διακοσμεῖν τὸν ἑαυτῶν βίον καὶ ἑαυτοὺς ἀπεργάζεσθαι καλοὺς καὶ ἀγαθούς, καὶ τῷ ὄντι ἑαυτῶν ἐπιμελεῖσθαι προαιρουμένους.

Τῆς δὲ αὐτῆς ἔχεται γνώμης καὶ ταῦτα· ὡς τῶν ἡμετέρων κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον οἰκειότατόν τέ ἐστι, τὰ δ' ἡμέτερα διττὰ πάντα ἐστὶ πᾶσι, τὰ μὲν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δὲ ἥττω καὶ χείρω δοῦλα. τὰ δεσπόζοντα οὖν προτιμητέον τῶν δουλευόντων. οὕτως οὖν τὴν ψυχὴν μετὰ θεοὺς τῶν ἄλλων προτιμητέον πάντων· τιμᾷ δὲ αὐτὴν οὐχ ὁ χείρονα ἐκ βελτίονος ἀπεργαζόμενος, οὐδ' ὁ κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν, οὐδ' ὁ φεύγων τοὺς ἐπαινουμένους πόνους καὶ φόβους καὶ ἀλγηδόνας καὶ λύπας (ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται ὁ τοιοῦτος), οὐδ' ὁ φεύγων τὸν θάνατον (τὴν γὰρ λύσιν τὴν ἀπὸ τοῦ σώματος καὶ τῆς ψυχῆς τὴν καθ' ἑαυτὴν ζωὴν δυσχεραίνοιτο ἂν ὁ τοιοῦτος), οὐδ' ὁ πρὸ ἀρετῆς προτιμῶν

15. p. 30, 2 Plat. Legg. V pp. 726—728 A.

3 δὲ] γε K nescio unde: cf. Plat. Alc. I p. 131 A ‖ 10 ταῦ'.

κάλλος ἢ χρήματα (τῶν γὰρ χειρόνων οὕτω τὴν κρείτ- 29 A.
τονα ψυχὴν καταδεεστέραν ἀποφαίνει). μία τοίνυν
ἔσται τιμὴ τῆς ψυχῆς ἡ κατὰ τὸν ὀρθὸν λόγον ζωὴ καὶ 80 K.
κατὰ νοῦν τελειότης τῆς ψυχῆς καὶ τὸ ὁμοιοῦσθαι τοῖς
οὖσιν ἀρίστοις παραδείγμασι καὶ τὸ τοῖς ἀμείνοσιν
ἕπεσθαι τὰ χείρονα, ὅσα γενέσθαι βελτίω δύναται, καὶ
τὸ φεύγειν μὲν τὸ κακόν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ
πάντων ἄριστον, καὶ ἑλόντα αὖ κοινῇ ξυνοικεῖν τὸν
ἐπίλοιπον βίον. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ δεόντως
φιλοσοφεῖν, ὥστ' ἐξ ἅπαντος τρόπου φιλοσοφητέον
τοῖς βουλομένοις εὐδαιμονεῖν.

Τελέως δ' ἂν καὶ οὕτως ἐπὶ τὸ αὐτὸ ἐκ διαιρέσεως
ἐπέλθοιμεν. τρία τριχῇ ψυχῆς ἐν ἡμῖν εἴδη κατῴκισται,
τὸ μὲν ᾧ λογιζόμεθα, τὸ δὲ ᾧ θυμούμεθα, τρίτον δὲ ᾧ
ἐπιθυμοῦμεν. τυγχάνει δ' ἕκαστον αὐτῶν κινήσεις ἔχον·
τὸ μὲν οὖν αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ
κινήσεων ἡσυχίαν ἄγον ἀσθενέστατον ἀνάγκη γίγνεσθαι,
τὸ δὲ ἐν γυμνασίοις ἐρρωμενέστατον· διὸ φυλακτέον,
ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἀλλήλας συμμέτρους.
διαφερόντως δὲ δὴ τὸ κυριώτατον τῆς ψυχῆς εἶδος,
ὅπερ δαίμονα ὁ θεὸς ἑκάστῳ δέδωκε καὶ ὅπερ ἀπὸ γῆς 82 K.
ἡμᾶς αἴρει πρὸς τὴν ἐν οὐρανῷ ξυγγένειαν ὡς ὄντας
φυτὸν οὐκ ἔγγειον, ἀλλ' οὐράνιον, τοῦτο δὴ μάλιστα 30 A.
ἀσκητέον. τῷ μὲν γὰρ περὶ τὰς ἐπιθυμίας ἢ περὶ
φιλονεικίας ἐσπουδακότι καὶ ταῦτα σφόδρα διαπονοῦντι
πάντα τὰ δόγματα ἀνάγκη θνητὰ ἐγγεγονέναι, καὶ
παντάπασι καθόσον μάλιστα δυνατὸν γίγνεσθαι θνητῷ,
τούτου μηδὲ σμικρὸν ἐλλείπειν, ἅτε τὸ τοιοῦτον ηὔξη-

13. p. 31, 19 Plat. Timae. pp. 89 E—90 D.

4 τελειό' ‖ 13 et 20 ψῦ ‖ 19 ἄλληλα P.

κότι· τῷ δὲ περὶ φιλομάθειαν καὶ περὶ τὰς τῆς ἀλη-
θείας φρονήσεις ἐσπουδακότι καὶ ταῦτα μάλιστα τῶν
αὐτοῦ γεγυμνασμένῳ, φρονεῖν μὲν ἀθάνατα καὶ θεῖα,
ἄνπερ ἀληθείας ἐφάπτηται, πᾶσα ἀνάγκη που, καθόσον
δ' αὖ μετασχεῖν ἀνθρωπίνῃ φύσει ἀθανασίας ἐνδέχεται,
τούτου μηδὲν μέρος ἀπολείπειν, ἅτε δὴ ἀεὶ θεραπεύ-
οντα τὸ θεῖον ἔχοντά τε αὐτὸν εὖ κεκοσμημένον τὸν
84 K. δαίμονα ξύνοικον ἑαυτῷ, διαφερόντως εὐδαίμονα εἶναι.
θεραπεία δὲ δὴ παντὶ παντὸς μία, τὰς οἰκείας ἑκάστῳ
τροφὰς καὶ κινήσεις ἀποδιδόναι· τῷ δ' ἐν ἡμῖν θείῳ
ξυγγενεῖς εἰσι κινήσεις αἱ τοῦ παντὸς διανοήσεις καὶ
31 A. περιφοραί. ταύταις δὴ οὖν ξυνεπόμενον ἕκαστον δεῖ
τὰς περὶ τὴν γένεσιν ἐν τῇ κεφαλῇ διεφθαρμένας
ἡμῶν περιόδους ἐξορθοῦν, διὰ τὸ καταμανθάνειν τὰς
τοῦ παντὸς ἁρμονίας καὶ περιφοράς, τῷ κατανοουμένῳ
δὲ τὸ κατανοοῦν ἐξομοιῶσαι κατὰ τὴν ἀρχαίαν φύσιν,
ὁμοιώσαντα δὲ τέλος ἔχειν τοῦ προτεθέντος ἀνθρώποις
ὑπὸ θεῶν ἀρίστου βίου πρός τε τὸν παρόντα καὶ τὸν
ἔπειτα χρόνον. οὐ γὰρ δὴ λυσιτελεῖ τὸ παντοδαπὸν
θηρίον ὥσπερ τὴν ἐπιθυμίαν εὐωχοῦντας ποιεῖν ἰσχυ-
ρόν, οὐδὲ τὸν λέοντα οἷον τὸν θυμὸν καὶ τὰ περὶ
τὸν λέοντα τρέφειν ἄξιον καὶ ἰσχυρὰ ποιεῖν ἐν ἡμῖν,
86 K. τὸν δὲ ἄνθρωπον ὥσπερ τὸν λόγον λιμοκτονεῖν καὶ
ποιεῖν ἀσθενῆ, ὡς ἕλκεσθαι ὅπῃ ἂν ἐκείνων ὁπότερον
ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν μηδὲ φίλον
ποιεῖν· ἀλλὰ πολὺ μᾶλλον τὸν ἐν ἡμῖν θεῖον ἄνθρω-
πον τοῦ πολυκεφάλου θρέμματος ἐγκρατῆ ποιητέον,

19. p. 33, 27 Plat. Civit. IX pp. 588 E—591 E.

1 φιλομάθειαν PK: φιλομαθείας ‖ 8 ξυνοικὸν ‖ ἐν αὐτῷ PK ‖ 12 ταύταις] hinc novum caput (VI) in AK.

ὅπως ἂν τὰ μὲν ἥμερα τῶν ἐπιθυμιῶν εἴδη τρέφῃ καὶ
τιθασσεύῃ, τὰ δὲ ἄγρια ἀποκωλύῃ φύεσθαι, σύμμαχον
ποιησάμενος τὴν τοῦ θυμοῦ φύσιν καὶ κοινῇ πάντων
κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ ἑαυτῷ, 32 A
οὕτως αὐτὰ θρέψει. καὶ ὁ μὲν τοιοῦτος κατὰ πάντα
ἔσται ἄριστος, ὁ δ' ἐναντίος οὐδὲν ὑγιὲς ἔχει. καὶ
τὸ μὲν καλὸν ἐν τῷ τοιούτῳ διαφαίνεται (ὑπὸ γὰρ τῷ
θείῳ τὰ θηριώδη τῆς φύσεως ὑποτάττεται), τὸ δ'
αἰσχρὸν ἐν τῷ ἐναντίῳ· ὑπὸ γὰρ τῷ ἀγρίῳ τὸ ἥμερον
δουλοῦται, καὶ τὸ βέλτιστον ὑπὸ τῷ μοχθηροτάτῳ καὶ
τὸ ἑαυτῷ θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρω-
τάτῳ δουλοῦται καὶ ἐπὶ τῇ αὐτοῦ ψυχῇ πλημμελεῖ.
καὶ μὴν τό γε ἀκολασταίνειν διὰ τὰ τοιαῦτα πάλαι 88 K.
ψέγεται, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ ἐπιθυμητικὸν
εἰς ἐλευθερίαν πέρα τοῦ δέοντος. καὶ ἡ αὐθάδεια δὲ
καὶ δυσκολία ψέγεται, ὅταν ὁ θυμὸς ἀναρμόστως
αὔξηται καὶ συντείνηται. τρυφὴ δὲ ἐπὶ τῇ τοῦ αὐτοῦ
ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ. κολακεία
δὲ καὶ ἀνελευθερία παρενοχλεῖ, ὅταν τις τὸ θυμοειδὲς
ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ, καὶ ἕνεκα χρημάτων καὶ
τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου
ἀντὶ λέοντος πίθηκον γίγνεσθαι. καὶ τἆλλα δὲ ἀπὸ
τούτου δῆλα ὡς ἐστὶ δεινά, ὅσα τὸ βέλτιστον ἐν ἡμῖν 33 A.
εἶδος ἀσθενὲς ἀπεργάζεται. μόνως τοίνυν εὐδαιμονή-
σομεν ὑπὸ τοῦ θείου καὶ φρονίμου ἀρχόμενοι. οὕτω
γὰρ εἰς δύναμιν πάντες ὅμοιοι ἐσόμεθα καὶ φίλοι τῷ

13. 15 καὶ μὴν — δέοντος Stob. Flor. VI 41 LMA (lemma εἰς [sic M^d A: ὁ rubro L] φιλοσοφίαν λόγων).

11 ἑαυτοῦ PK: fort. ἐν αὐτῷ ‖ 12 αὐτοῦ K: αὐτοῦ ‖ 13 διὰ τὰ τοιαῦτα om. Stobaeus ‖ 19 παρενοχλεῖ scripsit K: παρενοχλῇ.

αὐτῷ κυβερνώμενοι. δηλοῖ δὲ καὶ ὁ νόμος ὅτι τὸ
τοιοῦτον βούλεται, πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος ὤν·
καὶ ἡ τῶν παίδων ἀρχή, τὸ μὴ ἐᾶν ἐλευθέρους εἶναι,
ἕως ἂν ἐν αὐτοῖς ὥσπερ ἐν πόλει πολιτείαν καταστή-
σωμεν, καὶ τὸ βέλτιστον θεραπεύσαντες τῶν παρ' ἡμῖν,
τούτῳ ἀντικαταστήσωμεν φύλακα ὅμοιον καὶ ἄρχοντα
90 K. ἐν αὐτῷ, καὶ τότε δὴ ἐλεύθερον ἀφίεμεν. οὐκοῦν ὅ
γε νοῦν ἔχων πάντα τὰ αὑτοῦ εἰς τοῦτο ξυντείνας
βιώσεται, πρῶτον μὲν μαθήματα τιμῶν ἃ τοιαύτην
αὐτοῦ τὴν ψυχὴν ἀπεργάσεται, τὰ δὲ ἄλλα ἀτιμάζων,
ἔπειτα τὴν τοῦ σώματος ἕξιν καὶ τροφὴν οὐχ ὅπως
τῇ θηριώδει καὶ ἀλόγῳ ἡδονῇ ἐπιτρέψας ἐνταῦθα τε-
τραμμένος ζήσει, ἀλλ' οὐδὲ πρὸς ὑγείαν βλέπων, οὐδὲ
τοῦτο πρεσβεύων, ὅπως ἰσχυρὸς ἢ ὑγιὴς ἢ καλὸς ἔσται,
ἐὰν μὴ καὶ σωφρονήσειν μέλλῃ ἀπ' αὐτῶν· ἀλλ' ἀεὶ
τὴν ἐν τῷ σώματι ἁρμονίαν τῆς ἐν τῇ ψυχῇ ἕνεκα
ξυμφωνίας ἁρμοττόμενος φανεῖται, ἐάνπερ μέλλῃ τῇ
ἀληθείᾳ μουσικὸς εἶναι. οὐκοῦν καὶ τὴν ἐν τῇ τῶν
χρημάτων κτήσει σύνταξιν οὐκ εἰς ἄπειρον αὐξήσει
34 A. ἀπέραντα κακὰ ἔχων, ἀλλ' ἀποβλέπων πρὸς τὴν ἐν
ἑαυτῷ πολιτείαν καὶ φυλάττων, μή τι παρακινῇ αὐτοῦ
τῶν ἐκεῖ διὰ πλῆθος οὐσίας ἢ δι' ὀλιγότητα, οὕτω
κυβερνῶν προσθήσει καὶ ἀναλώσει τῆς οὐσίας καθόσον
92 K. ἂν οἷός τε. ἀλλὰ μὴν καὶ τιμάς γε εἰς ταὐτὸν ἀπο-
βλέπων τῶν μὲν μεθέξει ἑκών, ἃς ἂν οἴηται ἀμείνω
αὐτὸν ποιήσειν, τὰς δὲ φεύξεται ἰδίᾳ καὶ δημοσίᾳ,
ἃς ἂν ἡγῆται λύσειν τὴν ὑπάρχουσαν ἕξιν. καὶ ἑνὶ
δηλονότι τῷ πάντα τὰ ἄλλα ἀνταλλάσσεσθαι ἐπι-
χειρήσει ἑνὸς τούτου μόνου, τοῦ φρόνησιν κτήσασθαι,

3 ἐᾶν ἐλευθέρους PK: ἀνελευθέρους ‖ 5 τῷ παρ' ἡμῖν, τοιούτῳ P ‖ 8 et 21 αὐτοῦ ‖ 24 οἷός τ' ᾖ P ‖ 26 αὑτὸν PK: αὐτὸν.

καὶ πάντα πράξει δουλεύων τῇ τοῦ νοῦ κτήσει. τοῦτο
δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ φιλοσοφεῖν, ὥστε καὶ κατὰ
ταύτην τὴν διαίρεσιν πάντων μάλιστα φιλοσοφητέον
τοῖς βουλομένοις εὖ πράττειν.

Εἰς ταὐτὸ δὲ φέρει τέλος καὶ ἡ τοιάδε ἔφοδος. πᾶσα
φύσις ὥσπερ ἔχουσα λόγον οὐθὲν μὲν εἰκῇ ποιεῖ, ἕνεκα
δέ τινος πάντα, καὶ μᾶλλον τοῦ ἕνεκά τινος τὸ εἰκῇ
ἐξορίσασα πεφρόντικεν ἤπερ αἱ τέχναι, ὅτι καὶ φύσεως
αἱ τέχναι ἦσαν μιμήματα. τοῦ δὲ ἀνθρώπου συνεστῶτος
φύσει ἐκ ψυχῆς τε καὶ σώματος, βελτίονος δὲ οὔσης
τῆς ψυχῆς τοῦ σώματος καὶ ἀεὶ τοῦ βελτίονος ἕνεκα
ὑπηρετουμένου τοῦ χείρονος, καὶ τὸ σῶμα τῆς ψυχῆς 35 A.
ἕνεκά ἐστι. τῆς ψυχῆς δὲ τὸ μὲν ἦν ἔχον λόγον, τὸ δ'
οὐκ ἔχον, ὅπερ καὶ χεῖρον· ὥστε τὸ ἄλογον ἕνεκα τοῦ 94 K.
λόγον ἔχοντος. ἐν δὲ τῷ λόγον ἔχοντι ὁ νοῦς· ὥστε
τοῦ νοῦ ἕνεκα πάντα εἶναι ἀναγκάζει ἡ ἀπόδειξις.
τοῦ δ' αὖ νοῦ αἱ νοήσεις ἐνέργειαι, ὁράσεις οὖσαι
νοητῶν, ὡς τοῦ ὁρατικοῦ ἐνέργεια ὁρᾶν τὰ ὁρατά.
νοήσεως οὖν καὶ νοῦ ⟨ἕνεκα⟩ πάντα αἱρετὰ τοῖς
ἀνθρώποις, εἴπερ τὰ μὲν ἄλλα τῆς ψυχῆς ἕνεκα αἱρετά,
νοῦς δὲ τὸ βέλτιστον τῶν κατὰ ψυχὴν μόνον, τοῦ δὲ
βελτίστου τὰ ἄλλα συνέστηκε χάριν. πάλιν δὲ τῶν
διανοήσεων ἐλεύθεραι μὲν ἦσαν ὅσαι δι' αὑτὰς αἱρε-
ταί, δούλαις δὲ ἐοικυῖαι αἱ δι' ἄλλα τὴν γνῶσιν
ἀπερείδουσαι· κρεῖττον δὲ πανταχοῦ τὸ δι' αὑτὸ τοῦ
δι' ἄλλο, ὅτι καὶ τὸ ἐλεύθερον τοῦ μὴ τοιούτου.
χρωμένων δὴ τῶν πράξεων τῇ διανοίᾳ, κἂν αὐτὸς

5 πᾶσα κτλ. usque ad medium c. XII excerpta sunt Aristotelica. Cf. Bywater, Journ. of Phil. II 55 sqq. Hirzel, Herm. X [1876] 83 sqq.

10 βελτίονος δὴ? ‖ 13 ἐστι Vitelli: εἶναι ‖ 19 (non 16) ἕνεκα addidit Vulcanius ‖ 21 μόνον suspectum ‖ 27 αὐτὸς ὁ νοῦς Schol.

ὑποβάλλῃ τὸ συμφέρον καὶ ταύτῃ ἡγῆται, ἀλλ' ἕπεταί
96 K. γε ταύταις καὶ δεῖταί γε καὶ τοῦ διακονήσοντος σώ-
ματος καὶ ἀναπίμπλαταί γε καὶ τῆς τύχης, ὑπὲρ ὧν
36 A. ἀποδίδωσι τὰς πράξεις ὧν ὁ νοῦς κύριος, καὶ διὰ
σώματος αἱ πολλαί. ὥστε τῶν διανοήσεων αἱ δι' αὐτὸ
ψιλὸν τὸ θεωρεῖν αἱρεταὶ τιμιώτεραι καὶ κρείττους
τῶν πρὸς ἄλλα χρησίμων· δι' αὑτὰς δὲ τίμιοι αἱ
θεωρίαι καὶ αἱρετὴ ἐν ταύταις τοῦ νοῦ ἡ σοφία, διὰ
δὲ πράξεις αἱ κατὰ φρόνησιν· ὥστε τὸ ἀγαθὸν καὶ
τίμιον ἐν ταῖς κατὰ σοφίαν θεωρίαις, θεωρίαις δὲ οὐ
δήπου πάλιν ταῖς τυχούσαις· οὐ γὰρ πᾶσα ἁπλῶς
κατάληψις τίμιον, ἀλλ' ἡ τοῦ ἄρχοντος σοφοῦ ὄντος
καὶ τῆς ἐν τῷ παντὶ ἀρχῆς, αὕτη καὶ σοφίᾳ σύνοικος
καὶ οἰκείως ἂν ὑποκέοιτο. αἰσθήσεως μὲν οὖν καὶ
νοῦ ἀφαιρεθεὶς ἄνθρωπος φυτῷ γίγνεται παραπλή-
σιος, νοῦ δὲ μόνου ἀφῃρημένος ἐκθηριοῦται, ἀλο-
98 K. γίας δὲ ἀφαιρεθεὶς μένων δ' ἐν τῷ νῷ ὁμοιοῦται
θεῷ. καταργητέον οὖν εἰς δύναμιν τῆς ἀλογίας τὰ
πάθη, ταῖς δὲ τοῦ νοῦ καθαραῖς ἐνεργείαις καὶ εἰς
ἑαυτὸν καὶ τὸ θεῖον ἀφορώσαις χρηστέον, καὶ ταῖς
διεξόδοις τοῦ νοῦ ζῆν μελετητέον, πᾶν τὸ τῆς προσοχῆς
37 A. ὄμμα καὶ τὸν ἔρωτα πρὸς τοῦτον συνάψαντα. οὐ γὰρ
δὴ τὰ περὶ τὸν θεὸν καὶ τὰ θεῖα θεωρητέον τῶν πρά-
ξεων ἕνεκα. οὐ γάρ φασι θεμιτὸν εἶναι χραίνειν τὴν
θέαν τοῦ θείου καταδουλούμενον τῷ τοῦ χρησίμου
ἀνθρώποις ἀναγκαίῳ, οὐδ' ὅλως τὸν νοῦν ἀσπαστέον
διὰ τὰς χρείας * * * εἰκὼς πρὸς ταύτας (μόνος δὴ πασῶν

1. 4 non intellego ‖ 5 αὐτὸ A: αὑτὸ ‖ 8 αἱρετὴ A: ἀρετὴ ‖ 22 τοῦτο A ‖ 27 lacunam signavit Vitelli, qui ⟨οὐδὲ συντακτέον⟩ εἰκῇ tentabat: τὸν νοῦν κατασπάσασθαι τὰς χρείας εἰκὸς (at εἰκὸς h. e. εἰκὼς codex) scripsit K ‖ δὴ] γὰρ? Vitelli.

τῶν ἄλλων ἃς ἔχομεν ἐπιτυχὴς δυνάμεων), ἔμπαλιν δὲ καὶ τὰς πράξεις καὶ πάντα τὰ ἄλλα πρὸς νοῦν καὶ τὸν θεὸν συντακτέον, καὶ ἀπὸ τούτου καὶ τῶν κατὰ μέρος καθηκόντων τὸ εὐλόγιστον ἀναμετρητέον. δικαία τε γὰρ καὶ κατ' ἀξίαν ἡ κρίσις καὶ μόνη πασῶν ἱκανὴ τὴν ἀληθινὴν ἀνθρώποις εὐδαιμονίαν παρασκευάζειν. 100 K. ᾧ γὰρ τῶν ἄλλων διαφέρομεν ζῴων, ἐν μόνῳ δὴ τούτῳ τῷ βίῳ διαλάμπει, ᾧ οὐκ ἦν τι τυχὸν καὶ οὐ μεγάλην ἔχον ἀξίαν. λόγου μὲν γὰρ καὶ φρονήσεως μικρά τινα καὶ ἐν ἐκείνοις αἰθύγματα, σοφίας δὲ θεωρητικῆς ταῦτα μὲν παντελῶς ἄμοιρα, μόνοις δὲ μέτεστι θεοῖς· ὡς αἰσθήσεσί γε καὶ ὁρμαῖς πολλῶν ἤδη ζῴων τῆς ἀκριβείας καὶ τῆς ἰσχύος λείπεται ἄνθρωπος, καὶ μόνον τοῦτο ὄντως ἀγαθὸν ἀναφαίρετον, ὃ δὴ περιέχειν συγχωροῦσι τὴν τοῦ ἀγαθοῦ ἔννοιαν, οὐδαμῶς μὲν τοῖς 38 A. τυχηροῖς ὑποτάττοντος ἑαυτὸν κατὰ τοῦτον τὸν βίον τοῦ σπουδαίου, ἀπὸ δὲ τῶν ὑποχειρίων τῇ τύχῃ μάλιστα δὴ πάντων ἑαυτὸν ἐλευθερώσαντος. διὸ καὶ τὸ θαρρεῖν ἐξ ὅλης τῆς γνώμης ἐν τούτῳ διατελοῦντα ἔνεστι τῷ βίῳ. τίνος γὰρ τίς αὐτὸν ἀφαιρήσεται τὸν πάλαι τῶν ἀφαιρεθῆναι οἵων τε ἑαυτὸν ἀλλοτριώσαντα, 102 K. ἔχοντα δὲ τὸν ὄντως ἑαυτὸν καὶ ζῶντα ἐν τοῖς ἑαυτοῦ καὶ τρεφόμενον ἀπὸ τῶν αὐτοῦ καὶ τῆς ἀμετρήτου ᾧ συνῆπται θεοῦ εὐζωίας; τοιαῦται μὲν οὖν ἡμῖν ἔστωσαν αἱ πρὸς τὴν τελειοτάτην σοφίαν Πυθαγορικαὶ παρακλήσεις.

VI. Ἐπεὶ δὲ ἀνθρώποις διαλεγόμεθα, ἀλλ' οὐχὶ τοῖς τὴν θείαν μοῖραν τῆς ζωῆς πρόχειρον ἔχουσι, δεῖ

20 τίς scr. K: τις ‖ τὸν] τῶ[ὸν] ‖ 21 ἀλλοτριώσαντι[α], item 22 ἔχοντι[α] et ζῶντι[α] et 23 τρεφόμενον ex τρεφομένω ‖ 27 c. VI. VII = c. VII ap. AK.

συμμιγνύναι ταῖς τοιαύταις παρακλήσεσι τὰς πρὸς τὸν πολιτικὸν καὶ πρακτικὸν βίον προτροπάς. ὧδε οὖν λέγωμεν· τὰ ὑποκείμενα πρὸς τὸν βίον ἡμῖν, οἷον ⟨τὸ⟩ σῶμα καὶ ⟨τὰ⟩ περὶ τὸ σῶμα, καθάπερ ὄργανά τινα ὑπόκειται, τούτων δ' ἐπικίνδυνός ἐστιν ἡ χρῆσις, καὶ πλέον θάτερον ἀπεργάζεται τοῖς μὴ δεόντως αὐτοῖς 39 A. χρωμένοις. δεῖ τοίνυν ὀρέγεσθαι τῆς ἐπιστήμης κτᾶσθαί τε αὐτὴν καὶ χρῆσθαι αὐτῇ προσηκόντως, δι' ἧς 104 K. πάντα ταῦτα εὖ θησόμεθα. φιλοσοφητέον ἄρα ἡμῖν, εἰ μέλλομεν ὀρθῶς πολιτεύσεσθαι καὶ τὸν ἑαυτῶν βίον διάξειν ὠφελίμως. ἔτι τοίνυν ἄλλαι μέν εἰσιν αἱ ποιοῦσαι ἕκαστον τῶν ἐν τῷ βίῳ πλεονεκτημάτων ἐπιστῆμαι, ἄλλαι δὲ αἱ χρώμεναι ταύταις, καὶ ἄλλαι μὲν αἱ ὑπηρετοῦσαι, ἕτεραι δὲ αἱ ἐπιτάττουσαι, ἐν αἷς ἐστιν ὡς ἂν ἡγεμονικωτέραις ὑπαρχούσαις τὸ κυρίως ὂν ἀγαθόν. εἰ τοίνυν μόνη ἡ τοῦ κρίνειν ἔχουσα τὴν ὀρθότητα καὶ ἡ τῷ λόγῳ χρωμένη καὶ ἡ τὸ ὅλον ἀγαθὸν θεωροῦσα, ἥτις ἐστὶ φιλοσοφία, χρῆσθαι πᾶσι καὶ ἐπιτάττειν κατὰ φύσιν δύναται, φιλοσοφητέον ἐκ παντὸς τρόπου, ὡς μόνης φιλοσοφίας τὴν ὀρθὴν κρίσιν καὶ τὴν ἀναμάρτητον ἐπιτακτικὴν φρόνησιν ἐν ἑαυτῇ περιεχούσης. ἔτι τοίνυν, ἐπεὶ τὰ δυνατὰ καὶ ὠφέλιμα πάντες αἱρούμεθα, παραδεικτέον ὡς τῷ φιλοσοφεῖν ἀμφότερα ταῦτα ὑπάρχει, καὶ ὅτι τὴν χαλεπότητα τῆς κτήσεως ὑποδεεστέραν ἔχει τοῦ μεγέθους τῆς ὠφελείας· τὰ γὰρ ῥᾴω πάντες ἥδιον πονοῦμεν. ὅτι μὲν οὖν τὰς

26. p. 41, 5 Aristot. Protr. fr. 52 Rose (ed. Teubn. p. 60, 17—63, 16).

3 τὸ et 4 τὰ addidit K: equidem verba οἷον σῶμα καὶ περὶ τὸ σῶμα abesse malim ‖ 13 ταύταις] τούτοις scripsit K ‖ 23 scribendum videtur (cl. p. 41, 2) ἀποδεικτέον.

περὶ τῶν δικαίων καὶ τῶν συμφερόντων, ἔτι δὲ περὶ 40 A.
φύσεώς τε καὶ τῆς ἄλλης ἀληθείας ἐπιστήμας δυνατοὶ 106 K.
λαβεῖν ἐσμεν, ῥᾴδιον ἐπιδεῖξαι. ἀεὶ γὰρ γνωριμώτερα
τὰ πρότερα τῶν ὑστέρων καὶ τὰ βελτίω τὴν φύσιν
τῶν χειρόνων. τῶν γὰρ ὡρισμένων καὶ τεταγμένων
ἐπιστήμη μᾶλλόν ἐστιν ἢ τῶν ἐναντίων, ἔτι δὲ τῶν
αἰτίων ἢ τῶν ἀποβαινόντων. ἔστι δ' ὡρισμένα καὶ
τεταγμένα τἀγαθὰ τῶν κακῶν μᾶλλον, ὥσπερ ἄνθρω-
πος ἐπιεικὴς ἀνθρώπου φαύλου· τὴν αὐτὴν γὰρ ἔχειν
ἀναγκαῖον αὐτὰ πρὸς ἄλληλα διαφοράν. αἴτιά τε μᾶλ-
λον τὰ πρότερα τῶν ὑστέρων· ἐκείνων γὰρ ἀναιρου-
μένων ἀναιρεῖται τὰ τὴν οὐσίαν ἐξ ἐκείνων ἔχοντα,
μήκη μὲν ἀριθμῶν, ἐπίπεδα δὲ μηκῶν, στερεὰ δὲ ἐπι-
πέδων[, στοιχεῖα δὲ τῶν ὀνομαζομένων συλλαβῶν]. ὥστε
εἴπερ ψυχὴ μὲν σώματος ἄμεινον (ἀρχικώτερον γὰρ τὴν
φύσιν ἐστί), περὶ δὲ σῶμα τέχναι καὶ φρονήσεις εἰσὶν
ἰατρική τε καὶ γυμναστική (ταύτας γὰρ ἡμεῖς ἐπιστήμας
τίθεμεν καὶ κεκτῆσθαί τινας αὐτάς φαμεν), δῆλον ὅτι 108 K.
καὶ περὶ ψυχὴν καὶ τὰς ψυχῆς ἀρετάς ἐστί τις ἐπιμέ-
λεια καὶ τέχνη, καὶ δυνατοὶ λαβεῖν αὐτήν ἐσμεν, εἴπερ
γε καὶ τῶν μετ' ἀγνοίας πλείονος καὶ γνῶναι χαλε-
πωτέρων. ὁμοίως δὲ καὶ τῶν περὶ φύσεως· πολὺ γὰρ
πρότερον ἀναγκαῖον τῶν αἰτίων καὶ τῶν στοιχείων

3. p. 41, 2 cf. Iambl. in libro III (Villoison, Anecd. II p. 217, 35—218, 25. Cod. Laurent. 86, 3 f. 109a sqq.).

3 γνωριμώτερα ἀμφότερα, τὰ lib. III ‖ 13 ἀριθμῶν] an στιγμῶν (cl. Ar. Top. Z 4. 141^a, 6)? at cf. lib. III p. 214, 14 ‖ 14 στοιχεῖα — συλλαβῶν del. Rose, om. lib. III. certe dicendum erat συλλαβαὶ δὲ τῶν ὀνομ. στοιχείων; nam Pythagoreorum συνθέτοις στοιχείοις, de quibus cogitaverat Kiessling, nullus hic locus (cf. p. 39, 7 sq.).

41 A. εἶναι φρόνησιν ἢ τῶν ὑστέρων. οὐ γὰρ ταῦτα τῶν
ἄκρων οὐδ' ἐκ τούτων τὰ πρῶτα πέφυκεν, ἀλλ' ἐξ
ἐκείνων καὶ δι' ἐκείνων τἆλλα γίγνεται καὶ συνίστα-
ται φανερῶς. εἴτε γὰρ πῦρ εἴτ' ἀὴρ εἴτε ἀριθμὸς εἴτε
ἄλλαι τινὲς φύσεις αἰτίαι καὶ πρῶται τῶν ἄλλων, ἀδύ-
νατον τῶν ἄλλων τι γιγνώσκειν ἐκείνας ἀγνοοῦντας·
πῶς γὰρ ἄν τις ἢ λόγον γνωρίζοι συλλαβὰς ἀγνοῶν,
ἢ ταύτας ἐπίσταιτο μηδὲν τῶν στοιχείων εἰδώς;

Ὅτι μὲν οὖν τῆς ἀληθείας καὶ τῆς περὶ ψυχὴν
ἀρετῆς ἐστιν ἐπιστήμη καὶ διότι δυνατοὶ λαβεῖν αὐτάς
ἐσμεν, ταῦτα ἡμῖν εἰρήσθω περὶ αὐτῶν· ὅτι δὲ μέγιστόν
ἐστι τῶν ἀγαθῶν καὶ πάντων ὠφελιμώτατον τῶν ἄλλων,
ἐκ τῶνδε δῆλον. πάντες γὰρ ὁμολογοῦμεν ὅτι δεῖ μὲν
τὸν σπουδαιότατον ἄρχειν καὶ τὸν τὴν φύσιν κράτιστον,
τὸν δὲ νόμον ἄρχοντα καὶ κύριον εἶναι μόνον· οὗτος
110 K. δὲ φρόνησίς τις καὶ λόγος ἀπὸ φρονήσεώς ἐστιν. ἔτι
δὲ τίς ἡμῖν κανὼν ἢ τίς ὅρος ἀκριβέστερος τῶν ἀγα-
θῶν πλὴν ὁ φρόνιμος; ὅσα γὰρ ἂν οὗτος ἕλοιτο κατὰ
τὴν ἐπιστήμην αἱρούμενος, ταῦτ' ἐστὶν ἀγαθά, καὶ
κακὰ δὲ τὰ ἐναντία τούτοις. ἐπεὶ δὲ πάντες αἱροῦνται
μάλιστα τὰ κατὰ τὰς οἰκείας ἕξεις (τὸ μὲν γὰρ δικαίως
42 A. ζῆν ὁ δίκαιος, τὸ δὲ κατὰ τὴν ἀνδρείαν ὁ τὴν ἀνδρείαν
ἔχων, ὁ δὲ σώφρων τὸ σωφρονεῖν ὁμοίως), δῆλον ὅτι
καὶ τὸ φρονεῖν ὁ φρόνιμος αἱρήσεται πάντων μάλιστα·
τοῦτο γὰρ ἔργον ταύτης τῆς δυνάμεως. ὥστε φανερὸν
ὅτι κατὰ τὴν κυριωτάτην κρίσιν κράτιστόν ἐστι τῶν

2 ἀρχῶν coni. K: fort. πρώτων ‖ 3 καὶ τἄλλα et 11 ὅτι δὲ καὶ liber III, ubi εἴτε γὰρ — περὶ αὐτῶν (4. 11) om. ‖ 20 τἀναντία lib. III, ubi καὶ (ante κακὰ) et κατὰ τὴν ἐπιστήμην αἱρούμενος desunt ‖ 21 τὰ om. lib. III ‖ 23 ante ὁμοίως distinguit lib. III.

ἀγαθῶν ἡ φρόνησις. οὐ δὴ δεῖ φεύγειν φιλοσοφίαν, εἴπερ ἐστὶν ἡ μὲν φιλοσοφία, καθάπερ οἰόμεθα, κτῆσίς τε καὶ χρῆσις σοφίας, ἡ δὲ σοφία τῶν μεγίστων ἀγαθῶν· οὐδὲ δεῖ χρημάτων μὲν ἕνεκα πλεῖν ἐφ' Ἡρακλέους στήλας καὶ πολλάκις κινδυνεύειν, διὰ δὲ φρόνησιν μηδὲν πονεῖν μηδὲ δαπανᾶν. ἦ μὴν ἀνδραποδῶδές γε τοῦ ζῆν ἀλλὰ μὴ τοῦ ζῆν εὖ γλίχεσθαι, καὶ ταῖς τῶν πολλῶν αὐτὸν ἀκολουθεῖν δόξαις ἀλλὰ 112 K. μὴ τοὺς πολλοὺς ἀξιοῦν ταῖς αὑτοῦ, καὶ τὰ μὲν χρήματα ζητεῖν τῶν δὲ καλῶν μηδεμίαν ἐπιμέλειαν ποιεῖσθαι τοπαράπαν.

Καὶ περὶ μὲν ὠφελείας καὶ μεγέθους τοῦ πράγματος ἱκανῶς ἀποδεδεῖχθαι νομίζω, διότι δὲ πολλῷ ῥᾴστη τῶν ἄλλων ἀγαθῶν ἡ κτῆσις αὐτῆς, ἐκ τῶνδε πεισθείη τις ἄν. τὸ γὰρ μήτε μισθοῦ παρὰ τῶν ἀνθρώπων γινομένου τοῖς φιλοσοφοῦσι, δι' ὃν συντόνως 43 A. οὕτως ἂν διαπονήσειαν, πολύ τε προεμένους εἰς τὰς ἄλλας τέχνας ὅμως ἐξ ὀλίγου χρόνου θέοντας παρεληλυθέναι ταῖς ἀκριβείαις, σημεῖόν μοι δοκεῖ τῆς περὶ τὴν φιλοσοφίαν εἶναι ῥᾳστώνης. ἔτι δὲ τὸ πάντας φιλοχωρεῖν ἐπ' αὐτῇ καὶ βούλεσθαι σχολάζειν ἀφεμένους τῶν ἄλλων ἁπάντων, οὐ μικρὸν τεκμήριον ὅτι μεθ' ἡδονῆς ἡ προσεδρεία γίγνεται· πονεῖν γὰρ οὐδεὶς ἐθέλει πολὺν χρόνον. πρὸς δὲ τούτοις ἡ χρῆσις πλεῖστον διαφέρει πάντων· οὐδὲ γὰρ δέονται πρὸς τὴν 114 K. ἐργασίαν ὀργάνων οὐδὲ τόπων, ἀλλ' ὅπῃ τις ἂν θῇ

9 ἀξιοῦν ταῖς αὐτοῦ (sic) correxit manus recens marg. Laurent. 86, 29: ἀξιοῦντες αὐτοῦ (ὐ fort. ex ὑ) ‖ 15 πέπεισμαι lib. III ‖ 16 φιλοσόφοις liber III ‖ 17 εἰς om. liber III ‖ 21 ἐπ' delet Rose ‖ 23 προσεδρεία (non aliter)] προεδρεία ex apogr. Rose: liber III προσεδρεία f. 109^b (= Villois. p. 218, 21) et προεδρίαν f. 106^b (= Villois. p. 214, 14) ‖ 25 οὐδὲν γὰρ liber III.

τῆς οἰκουμένης τὴν διάνοιαν, ὁμοίως πανταχόθεν ὥσπερ παρούσης ἅπτεται τῆς ἀληθείας. οὐκοῦν ἀποδέδεικται καὶ ὅτι δυνατὸν καὶ διότι μέγιστον τῶν ἀγαθῶν καὶ κτήσασθαι ῥᾴδιον ἡ φιλοσοφία, ὥστε πάντων ἕνεκα προθύμως αὐτῆς ἀντιλαμβάνεσθαι ἄξιον.

VII. Ἴδοι δ' ἄν τις τὸ αὐτὸ γνωριμώτερον ἀπὸ τούτων. τὸ φρονεῖν καὶ τὸ γιγνώσκειν ἐστὶν αἱρετὸν καθ' αὑτὸ τοῖς ἀνθρώποις (οὐδὲ γὰρ ζῆν δυνατὸν ὡς ἀνθρώποις ἄνευ τούτων), χρήσιμόν τε εἰς τὸν βίον ὑπάρχει· 44 A. οὐδὲν γὰρ ἡμῖν ἀγαθὸν παραγίγνεται, ὅ τι μὴ λογισαμένοις καὶ κατὰ φρόνησιν ἐνεργήσασιν τελειοῦται. καὶ μὴν εἴτε τὸ ζῆν εὐδαιμόνως ἐν τῷ χαίρειν ἐστὶν εἴτε ἐν τῷ τὴν ἀρετὴν ἔχειν εἴτε ἐν τῇ φρονήσει, κατὰ ταῦτα πάντα φιλοσοφητέον· ταῦτα γὰρ μάλιστα καὶ εἰλικρινῶς διὰ τοῦ φιλοσοφεῖν ἡμῖν παραγίγνεται. ἔτι τοίνυν τὸ μέν ἐστι ψυχὴ τῶν ἐν ἡμῖν τὸ δὲ σῶμα, καὶ τὸ μὲν ἄρχει τὸ δὲ ἄρχεται, καὶ τὸ μὲν χρῆται τὸ δ' ὑπόκειται ὡς ὄργανον. ἀεὶ τοίνυν πρὸς τὸ ἄρχον καὶ τὸ χρώμενον συντάττεται ἡ τοῦ ἀρχομένου καὶ τοῦ ὀργάνου χρεία. τῆς δὲ ψυχῆς τὸ μὲν λόγος ἐστὶν ὅπερ κατὰ 116 K. φύσιν ἄρχει καὶ κρίνει περὶ ἡμῶν, τὸ δ' ἕπεταί τε καὶ πέφυκεν ἄρχεσθαι. πᾶν δὲ εὖ διάκειται κατὰ τὴν οἰκείαν ἀρετήν· τὸ γὰρ τετυχηκέναι ταύτης ἀγαθόν ἐστι. καὶ μὴν ὅταν γε ἔχῃ τὰ μάλιστα καὶ κυριώτατα καὶ τιμιώτατα τὴν ἀρετήν, τότε εὖ διάκειται· τοῦ βελτίονος ἄρα φύσει βελτίων ἐστὶν ἡ κατὰ φύσιν ἀρετή. βέλτιον δὲ τὸ κατὰ φύσιν ἀρχικώτερον καὶ 45 A. μᾶλλον ἡγεμονικόν, ὡς ἄνθρωπος πρὸς τὰ ἄλλα ζῷα· οὐκοῦν ψυχὴ μὲν σώματος βέλτιον (ἀρχικώτερον γάρ), ψυχῆς δὲ τὸ λόγον ἔχον καὶ διάνοιαν· ἔστι γὰρ τοιοῦτον ὃ κελεύει καὶ κωλύει, καὶ δεῖν ἢ μὴ δεῖν φησι

πράττειν. ἥτις ποτὲ οὖν ἐστιν ἀρετὴ τούτου τοῦ
μέρους, ἀναγκαῖον εἶναι πάντων αἱρετωτάτην ἁπλῶς
τε πᾶσι καὶ ἡμῖν· καὶ γὰρ ἂν τοῦτο, οἶμαι, θείη τις,
ὡς ἤτοι μόνον ἢ μάλιστα ἡμεῖς ἐσμεν τὸ μόριον τοῦτο.
ἔτι τοίνυν ὅταν ὃ πέφυκεν ἔργον ἑκάστου μὴ κατὰ
συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ λεγόμενον κάλλιστα ἀπο-
τελῇ, τότε καὶ τοῦτο ἀγαθὸν εἶναι λεκτέον, ταύτην τε 118 K.
ἀρετὴν θετέον κυριωτάτην, καθ' ἣν ἕκαστον αὐτὸ
τοῦτο πέφυκεν ἀπεργάζεσθαι. τοῦ μὲν οὖν συνθέτου
καὶ μεριστοῦ πλείους καὶ διάφοροί εἰσιν ἐνέργειαι,
τοῦ δὲ τὴν φύσιν ἁπλοῦ καὶ μὴ πρός τι τὴν οὐσίαν
ἔχοντος μίαν ἀναγκαῖον εἶναι τὴν καθ' αὑτὸ κυρίως
ἀρετήν. εἰ μὲν οὖν ἁπλοῦν τι ζῷόν ἐστιν ὁ ἄνθρωπος
καὶ κατὰ λόγον καὶ νοῦν τέτακται αὐτοῦ ἡ οὐσία, οὐκ
ἄλλο ἐστὶν αὐτοῦ ἔργον ἢ μόνη ἡ ἀκριβεστάτη ἀλή-
θεια καὶ τὸ περὶ τῶν ὄντων ἀληθεύειν· εἰ δ' ἐστὶν
ἐκ πλειόνων δυνάμεων συμπεφυκός, δῆλόν ἐστιν ὡς
ἀφ' οὗ πλείω πέφυκεν ἀποτελεῖσθαι, ἀεὶ τούτων τὸ
βέλτιστον ἔργον ἐστίν, οἷον ἰατρικοῦ ὑγεία καὶ κυβερ 46 A.
νήτου σωτηρία. βέλτιον δὲ οὐδὲν ἔχομεν λέγειν ἔργον
τῆς διανοίας ἢ τοῦ διανοουμένου τῆς ψυχῆς ἡμῶν
ἀληθείας. ἀλήθεια ἄρα τὸ κυριώτατον ἔργον ἐστὶ τοῦ
μορίου τούτου τῆς ψυχῆς. τοῦτο δὲ δρᾷ κατ' ἐπι- 120 K.
στήμην ἁπλῶς, μᾶλλον δὲ κατὰ τὴν μᾶλλον ἐπιστήμην,
ταύτῃ δ' ἐστὶ θεωρία τὸ κυριώτατον τέλος. ὅταν γὰρ
δυοῖν ὄντοιν θάτερον διὰ θάτερον αἱρετὸν ᾖ, βέλτιόν
ἐστι τοῦτο καὶ μᾶλλον αἱρετὸν δι' ὅπερ αἱρετόν ἐστι
καὶ θάτερον, οἷον ἡδονὴ μὲν τῶν ἡδέων, ὑγεία δὲ
τῶν ὑγιεινῶν· ταῦτα γὰρ ποιητικὰ λέγεται τούτων.

6 καθ' αὑτὸ scripsit K: κατ' αὐτὸ ‖ 17 συμπεφυκώς ex apogr. Cizensi K ‖ 23 τούτου scripsit K: τοῦ.

οὐκοῦν τῆς φρονήσεως, ἥν φαμεν δύναμιν εἶναι τοῦ
κυριωτάτου τῶν ἐν ἡμῖν, οὐκ ἔστιν αἱρετώτερον οὐδέν,
ὡς ἕξις πρὸς ἕξιν κρίνεσθαι· τὸ γὰρ γνωστικὸν μέρος
καὶ χωρὶς καὶ συγκείμενον βέλτιόν ἐστι πάσης τῆς
ψυχῆς, τούτου δὲ ἐπιστήμη ἀρετή. οὐκ ἄρα ἐστὶν
ἔργον αὐτῆς οὐδεμία τῶν κατὰ μέρος λεγομένων ἀρε-
τῶν· πασῶν γάρ ἐστι βελτίων, τὸ δὲ ποιούμενον τέλος
ἀεὶ κρεῖττόν ἐστι τῆς ποιούσης ἐπιστήμης· οὐδὲ μὴν
122 K. ἅπασα τῆς ψυχῆς ἀρετὴ οὕτως ἔργον οὐδ' ἡ εὐδαι-
47 A. μονία. εἰ γὰρ ἔσται ποιητική, ἑτέρα ἑτέρων ἔσται,
ὥσπερ οἰκοδομικὴ οἰκίας, ἥτις οὐκ ἔστι μέρος τῆς
οἰκίας, ἡ μέντοι φρόνησις μόριον τῆς ἀρετῆς ἐστι καὶ
τῆς εὐδαιμονίας· ἢ γὰρ ἐκ ταύτης ἢ ταύτην φαμὲν
εἶναι τὴν εὐδαιμονίαν. οὐκοῦν καὶ κατὰ τὸν λόγον
τοῦτον ἀδύνατον εἶναι τὴν ἐπιστήμην ποιητικήν· βέλ-
τιον γὰρ δεῖ τὸ τέλος εἶναι τοῦ γιγνομένου, οὐδὲν δὲ
βέλτιον εἶναι φρονήσεως, πλὴν εἴ τι τῶν εἰρημένων,
τούτων δὲ οὐδὲν ἕτερον αὐτῆς ἐστιν ἔργον. θεωρη-
τικήν τινα ἄρα φατέον εἶναι ταύτην τὴν ἐπιστήμην,
ἐπείπερ ἀδύνατον ποίησιν εἶναι τὸ τέλος. τὸ φρονεῖν
ἄρα καὶ τὸ θεωρεῖν ἔργον τῆς ἀρετῆς ἐστι καὶ τοῦτο
πάντων ἐστὶν αἱρετώτατον τοῖς ἀνθρώποις, ὥσπερ
οἶμαι καὶ τὸ τοῖς ὄμμασιν ὁρᾶν, ὃ καὶ ἕλοιτό τις ἂν
ἔχειν, εἰ καὶ μή τι μέλλοι γίγνεσθαι δι' αὐτὸ παρ'
αὐτὴν τὴν ὄψιν ἕτερον. ἔτι εἰ τὸ ὁρᾶν ἀγαπῶμεν δι'
ἑαυτό, ἱκανῶς μαρτυρεῖ τοῦτο ὅτι πάντες τὸ φρονεῖν
καὶ τὸ γιγνώσκειν ἐσχάτως ἀγαπῶσιν. ἔτι εἴ τις
124 K. ἀγαπᾷ τόδε τι διὰ τὸ συμβεβηκέναι ἕτερον αὐτῷ τι,
δῆλον ὅτι μᾶλλον οὗτος βουλήσεται ᾧ μᾶλλον ὑπάρχει

3 fort. ὡς ἕξιν ‖ 17 fort. βέλτιόν ἐστι ‖ 24 δι' αὑτοῦ K.

τοῦτο· οἷον εἰ τυγχάνει τις αἱρούμενος τὸ περιπατεῖν ὅτι ὑγιεινόν, εἴη δὲ μᾶλλον αὐτῷ ὑγιεινὸν τὸ τροχάζειν καὶ δυνατὸν παραγενέσθαι, μᾶλλον αἱρήσεται τοῦτο κἂν ἕλοιτο γνοὺς θᾶττον. εἰ τοίνυν ἐστὶν ἀληθὴς δόξα φρονήσει ὅμοιον, εἴπερ αἱρετὸν τὸ δοξάζειν 48 A. ἀληθῶς ταύτην καὶ κατὰ τοσοῦτον καθόσον ὅμοιον τῇ φρονήσει διὰ τὴν ἀλήθειαν, εἰ μᾶλλον τοῦτο τῷ φρονεῖν ὑπάρχει, μᾶλλον αἱρετὸν τὸ φρονεῖν ἔσται τοῦ δοξάζειν ἀληθῶς. ἀλλὰ μὴν τό γε ζῆν τῷ αἰσθάνεσθαι διακρίνεται τοῦ μὴ ζῆν, καὶ ταύτης παρουσίᾳ καὶ δυνάμει τὸ ζῆν διώρισται, καὶ ταύτης ἐξαιρουμένης οὐκ ἔστιν ἄξιον ζῆν ὥσπερ ἀναιρουμένου τοῦ ζῆν αὐτοῦ διὰ τὴν αἴσθησιν. τῆς δὲ αἰσθήσεως ἡ τῆς ὄψεως διαφέρει δύναμις τῷ σαφεστάτη εἶναι, καὶ διὰ τοῦτο καὶ μάλιστα αἱρούμεθα αὐτήν· αἴσθησις δὲ πᾶσα δύναμίς ἐστι γνωριστικὴ διὰ σώματος, ὥσπερ ἡ 126 K. ἀκοὴ τοῦ ψόφου αἰσθάνεται διὰ τῶν ὤτων. οὐκοῦν εἰ τὸ ζῆν μέν ἐστιν αἱρετὸν διὰ τὴν αἴσθησιν ἡ δ' αἴσθησις γνῶσίς τις, καὶ διὰ τὸ γνωρίζειν αὐτῇ δύνασθαι τὴν ψυχὴν αἱρούμεθα, πάλαι δὲ εἴπομεν ὅτιπερ δυοῖν ἀεὶ μᾶλλον αἱρετὸν ᾧ μᾶλλον ὑπάρχει ταὐτόν, τῶν μὲν αἰσθήσεων τὴν ὄψιν ἀνάγκη μάλιστα αἱρετὴν εἶναι καὶ τιμίαν, ταύτης δὲ καὶ τῶν ἄλλων ἁπασῶν αἱρετωτέρα καὶ τοῦ ζῆν ἐστιν ἡ φρόνησις κυριωτέρα τῆς ἀληθείας· ὥστε πάντες ἄνθρωποι τὸ φρονεῖν μάλιστα διώκουσι. τὸ γὰρ ζῆν ἀγαπῶντες τὸ φρονεῖν καὶ τὸ γνωρίζειν ἀγαπῶσι· δι' οὐδὲν γὰρ 49 A. ἕτερον αὐτὸ τιμῶσιν ἢ διὰ τὴν αἴσθησιν καὶ μάλιστα

6 'immo ταύτῃ' Vitelli ‖ 10 ταύτης] 'quasi pro τῷ αἰσθάνεσθαι scriptum fuerit (v. 9) τῇ αἰσθήσει' K ‖ 20 πάλαι scil. p. 43, 29 ‖ ὅτιπερ marg.: ὥσπερ in textu.

διὰ τὴν ὄψιν· ταύτην γὰρ τὴν δύναμιν ὑπερβαλλόντως φαίνονται φιλοῦντες· αὕτη γὰρ πρὸς τὰς ἄλλας αἰσθήσεις ὥσπερ ἐπιστήμη τις ἀτεχνῶς ἐστιν.

VIII. *Οὐ χεῖρον δ' ἔτι καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν ὑπομνῆσαι τὸ προκείμενον, ἀπὸ τῶν ἐναργῶς πᾶσι φαινομένων. παντὶ δὴ οὖν τοῦτό γε πρόδηλον, ὡς οὐδεὶς ἂν ἕλοιτο ζῆν ἔχων τὴν μεγίστην ἀπ' ἀνθρώπων 128 K. οὐσίαν καὶ δύναμιν, ἐξεστηκὼς μέντοι τοῦ φρονεῖν καὶ μαινόμενος, οὐδ' εἰ μέλλοι τὰς νεανικωτάτας ἡδονὰς † ζώειν χαίρων, ὥσπερ ἔνιοι τῶν παραφρονούντων διάγουσιν. οὐκοῦν ἀφροσύνην, ὡς ἔοικε, μάλιστα πάντες φεύγουσιν. ἐναντίον δὲ φρόνησις ἀφροσύνῃ, τῶν δ' ἐναντίων ἑκάτερον τὸ μὲν φευκτόν ἐστι τὸ δὲ αἱρετόν. 50 A. ὥσπερ οὖν τὸ κάμνειν φευκτόν, οὕτως αἱρετὸν ἡμῖν τὸ ὑγιαίνειν. φρόνησις οὖν, ὡς ἔοικε, καὶ κατὰ τοῦτον τὸν λόγον φαίνεται τὸ πάντων αἱρετώτατον οὐ δι' ἕτερόν τι τῶν συμβαινόντων, ὡς μαρτυροῦσιν αἱ κοιναὶ ἔννοιαι. εἰ γὰρ καὶ πάντα τις ἔχοι, διεφθαρμένος δὲ εἴη καὶ νοσῶν τῷ φρονοῦντι, οὐχ αἱρετὸς ὁ βίος· οὐδὲν γὰρ ὄφελος οὐδὲ τῶν ἄλλων ἀγαθῶν. ὥστε πάντες καθόσον αἰσθάνονται τοῦ φρονεῖν καὶ γεύεσθαι δύνανται τούτου τοῦ πράγματος, οὐδὲν οἴονται τἆλλα εἶναι, καὶ διὰ ταύτην τὴν αἰτίαν οὔτ' ἂν μεθύων οὔτε παιδίον οὐδ' ἂν εἷς ἡμῶν ὑπομείνειεν εἶναι διὰ τέλους τὸν βίον. διὰ δὴ τοῦτο καὶ τὸ καθ-*

6. p. 47, 4 Arist. fr. 55 R. (p. 65, 4—66, 20).

1 ὑπερβαλόντως hic et p. 46, 13 ‖ 5 ⟨καὶ⟩ ἀπὸ coni. A ‖ 7 ἀπ' om. apogr. Cizense: κατ' ἄνθρωπον Vitelli ‖ 10 ζώειν corruptum: διώκειν? Diels: διάγειν? Vitelli ‖ 21 τοῦ φρονεῖν post τοῦ πράγματος collocavit Rose, nescio qua ratione motus ‖ 25 τὸν βίον deleri vult Scaliger.

εύδειν ἥδιστον μὲν οὐχ αἱρετὸν δέ, κἂν ὑποθώμεθα
πάσας τῷ καθεύδοντι παρούσας τὰς ἡδονάς, διότι τὰ
μὲν καθ' ὕπνον φαντάσματα ψευδῆ, τὰ δ' ἐγρηγορόσιν 130 K.
ἀληθῆ. διαφέρει γὰρ οὐδενὶ τῶν ἄλλων τὸ καθεύδειν
καὶ τὸ ἐγρηγορέναι πλὴν τῷ τὴν ψυχὴν τότε μὲν πολ-
λάκις ἀληθεύειν, καθεύδοντος δὲ ἀεὶ διεψεῦσθαι· τὸ
γὰρ τῶν ἐνυπνίων εἴδωλόν ἐστι καὶ ψεῦδος ἅπαν.

Καὶ τὸ φεύγειν δὲ τὸν θάνατον τοὺς πολλοὺς
δείκνυσι τὴν φιλομάθειαν τῆς ψυχῆς. φεύγει γὰρ ἃ
μὴ γιγνώσκει, τὸ σκοτῶδες καὶ τὸ μὴ δῆλον, φύσει 51 A.
δὲ διώκει τὸ φανερὸν καὶ τὸ γνωστόν. διὸ καὶ μάλιστα
τοὺς αἰτίους ἡμῖν τοῦ τὸν ἥλιον ἰδεῖν καὶ τὸ φῶς,
αὐτούς φαμεν δεῖν τιμᾶν ὑπερβαλλόντως καὶ σέβεσθαι
πατέρα καὶ μητέρα ὡς μεγίστων ἀγαθῶν αἰτίους· αἴτιοι
δέ εἰσιν, ὡς ἔοικε, τοῦ φρονῆσαί τι καὶ ἰδεῖν. διὰ τὸ
αὐτὸ δὲ τοῦτο καὶ χαίρομεν τοῖς συνήθεσι καὶ πράγ-
μασι καὶ ἀνθρώποις, καὶ φίλους τούτους καλοῦμεν
τοὺς γνωρίμους. δηλοῖ οὖν ταῦτα σαφῶς ὅτι τὸ
γνωστὸν καὶ ⟨τὸ⟩ φανερὸν καὶ τὸ δῆλον ἀγαπητόν
ἐστιν· εἰ δὲ τὸ γνωστὸν καὶ τὸ σαφές, δῆλον ὅτι καὶ
τὸ γιγνώσκειν ἀναγκαῖον καὶ τὸ φρονεῖν ὁμοίως.

Πρὸς δὴ τούτοις, ὥσπερ ἐπὶ τῆς οὐσίας οὐχ ἡ 132 K.
αὐτὴ κτῆσις ἕνεκα τοῦ ζῆν καὶ τοῦ ζῆν εὐδαιμόνως
τοῖς ἀνθρώποις, οὕτως καὶ ἐπὶ φρονήσεως οὐ τῆς
αὐτῆς οἶμαι δεόμεθα πρός τε τὸ ζῆν μόνον καὶ πρὸς
τὸ ζῆν καλῶς. τοῖς μὲν οὖν πολλοῖς πολλὴ συγγνώμη
τοῦτο πράττειν (εὔχονται μὲν γὰρ εὐδαιμονεῖν, ἀγα-
πῶσι δὲ κἂν μόνον δύνωνται ζῆν), ὅστις δὲ οἴεται μὴ

19. 20 καὶ φανερὸν — εἰ δὲ τὸ γνωστὸν om. marg. adscr. ‖ 19 prius τὸ add. Rose ‖ 24 ἐπὶ Vitelli: περὶ (ε/π).

52 A. πάντα τρόπον ὑπομένειν αὐτὸ δεῖν, καταγέλαστον ἤδη
τὸ μὴ πάντα πόνον ὑπομένειν καὶ πᾶσαν σπουδὴν
σπουδάζειν ὅπως κτήσηται ταύτην τὴν φρόνησιν ἥτις
γνώσεται τὴν ἀλήθειαν.

Γνοίη δ' ἂν τις τὸ αὐτὸ καὶ ἀπὸ τούτων, εἰ
θεωρήσειεν ὑπ' αὐγὰς τὸν ἀνθρώπειον βίον. εὑρήσει
γὰρ τὰ δοκοῦντα εἶναι μεγάλα τοῖς ἀνθρώποις πάντα
ὄντα σκιαγραφίαν. ὅθεν καὶ λέγεται καλῶς τὸ μηδὲν
εἶναι τὸν ἄνθρωπον καὶ τὸ μηδὲν εἶναι βέβαιον τῶν
ἀνθρωπίνων. ἰσχύς τε γὰρ καὶ μέγεθος καὶ κάλλος
γέλως ἐστὶ καὶ οὐδενὸς ἄξια, κάλλος τε παρὰ τὸ μηδὲν
134 K. ὁρᾶν ἀκριβὲς δοκεῖ εἶναι τοιοῦτον. εἰ γάρ τις ἐδύνατο
βλέπειν ὀξὺ καθάπερ τὸν Λυγκέα φασίν, ὃς διὰ τῶν
τοίχων ἑώρα καὶ τῶν δένδρων, πότ' ἂν ἔδοξεν εἶναί
τινα τὴν ὄψιν ἀνεκτόν, ὁρῶν ἐξ οἵων συνέστηκε κακῶν;
τιμαὶ δὲ καὶ δόξαι τὰ ζηλούμενα μᾶλλον τῶν λοιπῶν
ἀδιηγήτου γέμει φλυαρίας· τῷ γὰρ καθορῶντι τῶν
ἀιδίων τι ἠλίθιον περὶ ταῦτα σπουδάζειν. τί δ' ἐστὶ
μακρὸν ἢ τί πολυχρόνιον τῶν ἀνθρωπίνων; ἀλλὰ διὰ
τὴν ἡμετέραν ἀσθένειαν, οἶμαι, καὶ βίου βραχύτητα καὶ
τοῦτο φαίνεται πολύ. τίς ἂν οὖν εἰς ταῦτα βλέπων
53 A. οἴοιτο εὐδαίμων εἶναι καὶ μακάριος, οἳ πρῶτον εὐθὺς
φύσει συνέσταμεν, καθάπερ φασὶν οἱ τὰς τελετὰς
λέγοντες, ὥσπερ ἂν ἐπὶ τιμωρίᾳ πάντες; τοῦτο γὰρ
θείως οἱ ἀρχαιότεροι λέγουσι τὸ φάναι διδόναι τὴν

5. p. 48, 21 Arist. fr. 59. 60. 61 R. (p. 70, 1—72, 22 ‖ 8 cf. Soph. Ai. 125 sq. ‖ 9 cf. Diphil. inc. fab. fr. 27[a] (IV 424 Mein.) ‖ 23 οἱ τὰς τελ. κτλ.] cf. Lobeck Aglaoph. p. 796 itemque p. 89 sqq.

2 πόνον πονεῖν em. Rose ‖ 11 τε] γε Rose ‖ 13 λυγγέα ‖ 14 πότ'] πῶς scr. K ‖ 15 ἀνεκτὸν ὁρᾶν Rose ‖ 19 τί superscr. ‖ 21 πολύ. τίς ἂν Vulcanius: πολύ τι. ἐὰν ‖ 22 οἳ ex Ciz. Rose: οἱ: οἷς A.

ψυχὴν τιμωρίαν καὶ ζῆν ἡμᾶς ἐπὶ κολάσει μεγάλων 136 K.
τινῶν ἁμαρτημάτων. πάνυ γὰρ ἡ σύζευξις τοιούτῳ τινὶ ἔοικε πρὸς τὸ σῶμα τῆς ψυχῆς. ὥσπερ γὰρ τοὺς ἐν τῇ Τυρρηνίᾳ φασὶ βασανίζειν πολλάκις τοὺς ἁλισκομένους προσδεσμεύοντας κατ' ἀντικρὺ τοῖς ζῶσι νεκροὺς ἀντιπροσώπους ἕκαστον πρὸς ἕκαστον μέρος προσαρμόττοντας, οὕτως ἔοικεν ἡ ψυχὴ διατετάσθαι καὶ προσκεκολλῆσθαι πᾶσι τοῖς αἰσθητικοῖς τοῦ σώματος μέλεσιν. οὐδὲν οὖν θεῖον ἢ μακάριον ὑπάρχει τοῖς ἀνθρώποις, πλὴν ἐκεῖνό γε μόνον ἄξιον σπουδῆς, ὅσον ἐστὶν ἐν ἡμῖν νοῦ καὶ φρονήσεως· τοῦτο γὰρ μόνον ἔοικεν εἶναι τῶν ἡμετέρων ἀθάνατον καὶ μόνον θεῖον. καὶ παρὰ τὸ τῆς τοιαύτης δυνάμεως δύνασθαι κοινωνεῖν, καίπερ ὢν ὁ βίος ἄθλιος φύσει καὶ χαλεπός, ὅμως οὕτως ᾠκονόμηται χαριέντως, ὥστε δοκεῖν πρὸς
τὰ ἄλλα θεὸν εἶναι τὸν ἄνθρωπον. ‘ὁ νοῦς γὰρ ἡμῶν 138 K.
ὁ θεός’, εἴτε Ἑρμότιμος εἴτε Ἀναξαγόρας εἶπε τοῦτο, 54 A.
καὶ ὅτι ‘ὁ θνητὸς αἰὼν μέρος ἔχει θεοῦ τινος’. ἢ φιλοσοφητέον οὖν ἢ χαίρειν εἰποῦσι τῷ ζῆν ἀπιτέον ἐντεῦθεν, ὡς τὰ ἄλλα γε πάντα φλυαρία τις ἔοικεν εἶναι πολλὴ καὶ λῆρος.

Οὕτως ἄν τις τὰς ἀπὸ τῶν ⟨κοινῶν⟩ ἐννοιῶν ἐφόδους συγκεφαλαιώσαιτο δεόντως εἰς προτροπὴν τοῦ δεῖν φιλοσοφεῖν θεωρητικῶς καὶ ζῆν ὅτι μάλιστα τὸν κατ' ἐπιστήμην καὶ τὸν τοῦ νοῦ βίον.

---

7 ἔοικεν ἡ ψυχὴ διατετάσθαι κτλ.] cf. Themist. ap. Stob. Flor. CXX 28 (IV p. 108, 25 sqq. Mein.) ‖ 16 sqq. cf. Nauck ad Eurip. fr. 1007: ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός ‖ 18 sqq. cf. infra p. 60, 7 sqq.

---

4 Τυρρηνίᾳ A: τυραννίᾳ ‖ 5 πρὸς ἀντικρὺ Rose, nescio unde ‖ 7 διαδεδέσθαι et 16 ἄλογα Vitelli ‖ 22 κοινῶν addidit K.

IX. Ἄνωθεν δὲ ἀρχόμενοι ἀπὸ τοῦ τῆς φύσεως βουλήματος ἐπὶ τὴν αὐτὴν προτροπὴν προχωροῦμεν οὑτωσί. τῶν γινομένων τὰ μὲν ἀπό τινος διανοίας καὶ τέχνης γίνεται, οἷον οἰκία καὶ πλοῖον (ἀμφοτέρων γὰρ τούτων αἰτία τέχνη τίς ἐστι καὶ διάνοια), τὰ δὲ διὰ τέχνης μὲν οὐδεμιᾶς, ἀλλὰ διὰ φύσιν· ζῴων γὰρ καὶ φυτῶν αἰτία φύσις, καὶ κατὰ φύσιν γίνεται πάντα τὰ τοιαῦτα. ἀλλὰ μὴν καὶ διὰ τύχην ἔνια γίνεται τῶν
140 K. πραγμάτων· ὅσα γὰρ μήτε διὰ τέχνην μήτε διὰ φύσιν μήτ' ἐξ ἀνάγκης γίγνεται, τὰ πολλὰ τούτων διὰ τύχην γίνεσθαί φαμεν. τῶν μὲν οὖν ἀπὸ τύχης γιγνομένων
55 A. οὐδὲν ἕνεκά του γίγνεται, οὐδ' ἔστι τι τέλος αὐτοῖς· τοῖς δὲ ἀπὸ τέχνης γιγνομένοις ἔνεστι καὶ τὸ τέλος καὶ τὸ οὗ ἕνεκα (ἀεὶ γὰρ ὁ τὴν τέχνην ἔχων ἀποδώσει σοι λόγον δι' ὃν ἔγραψε καὶ οὗ ἕνεκα), καὶ τοῦτο [ὅτι] βέλτιόν ἐστιν ἢ τὸ διὰ τοῦτο γιγνόμενον. λέγω δ' ὅσων καθ' αὑτὴν ἡ τέχνη πέφυκεν αἰτία καὶ μὴ κατὰ συμβεβηκός· ὑγείας μὲν γὰρ ἰατρικὴν μᾶλλον ἢ νόσου κυρίως ἂν θείημεν, οἰκοδομικὴν δὲ οἰκίας, ἀλλ' οὐ τοῦ καταβάλλειν. πᾶν ἄρα ἕνεκά του γίγνεται τὸ κατὰ τέχνην, καὶ τοῦτο τέλος αὐτῆς τὸ βέλτιστον, τὸ μέντοι διὰ τύχην οὐ γίνεται ἕνεκά του· συμβαίη μὲν γὰρ ἂν καὶ ἀπὸ τύχης τι ἀγαθόν, οὐ μὴν ἀλλὰ κατά γε τὴν τύχην καὶ καθόσον ἀπὸ τύχης οὐκ ἀγαθόν, ἀόριστον δ' ἀεὶ τὸ γιγνόμενόν ἐστι κατ' αὐτήν. ἀλλὰ μὴν τό γε κατὰ φύσιν ἕνεκά του γίγνεται, καὶ
142 K. βελτίονος ἕνεκεν ἀεὶ συνίσταται ἢ καθάπερ τὸ διὰ τέχνης· μιμεῖται γὰρ οὐ τὴν τέχνην ἡ φύσις ἀλλὰ

---

16 ὅτι delevi ‖ τὸ ⟨οὐ⟩ διὰ scripsit K, qui et coni. τὸ δι' οὗ; at cf. ex gr. p. 43, 15 sq. 51, 16 sqq.

αὐτὴ τὴν φύσιν, καὶ ἔστιν ἐπὶ τῷ βοηθεῖν καὶ τὰ
παραλειπόμενα τῆς φύσεως ἀναπληροῦν. τὰ μὲν γὰρ
ἔοικεν αὐτὴ δύνασθαι δι' αὑτῆς ἡ φύσις ἐπιτελεῖν καὶ
βοηθείας οὐδὲν δεῖσθαι, τὰ δὲ μόλις καὶ παντελῶς
ἀδυνατεῖν, οἷον αὐτίκα καὶ περὶ τὰς γενέσεις· ἔνια 56 A.
μὲν δήπου τῶν σπερμάτων εἰς ὁποίαν ⟨ἂν⟩ ἐμπέσῃ
γῆν ἄνευ φυλακῆς γεννῶσιν, ἔνια δὲ προσδεῖται τῆς
γεωργικῆς τέχνης· παραπλησίως δὲ καὶ τῶν ζῴων τὰ
μὲν δι' αὑτῶν ἅπασαν ἀπολαμβάνει τὴν φύσιν, ἄν-
θρωπος δὲ πολλῶν δεῖται τεχνῶν πρὸς σωτηρίαν κατά
τε τὴν πρώτην γένεσιν καὶ πάλιν κατὰ τὴν ὑστέραν
τροφήν. εἰ τοίνυν ἡ τέχνη μιμεῖται τὴν φύσιν, ἀπὸ
ταύτης ἠκολούθηκε καὶ ταῖς τέχναις τὸ τὴν γένεσιν
ἅπασαν ἕνεκά του γίγνεσθαι. τὸ γὰρ ὀρθῶς γιγνό-
μενον ἅπαν ἕνεκά του γίγνεσθαι θείημεν ἄν. οὐκοῦν
τό γε καλῶς, ὀρθῶς· καὶ τὸ μὲν γιγνόμενον γίγνεται,
γέγονε δὲ τὸ γεγονὸς τό γε μὴν κατὰ φύσιν ἅπαν
καλῶς, εἴπερ τὸ παρὰ φύσιν φαῦλον καὶ τῷ κατὰ 144 K.
φύσιν * * * γένεσις ἕνεκά του γίγνεται. καὶ τοῦτο ἴδοι
τις ἂν καὶ ἀφ' ἑκάστου τῶν ἐν ἡμῖν μερῶν· οἷον εἰ
κατανοοῖς τὸ βλέφαρον, ἴδοις ἂν ὡς οὐ μάτην ἀλλὰ
βοηθείας χάριν τῶν ὀμμάτων γέγονεν, ὅπως ἀνάπαυσίν
τε παρέχῃ καὶ κωλύῃ τὰ προσπίπτοντα πρὸς τὴν ὄψιν.
οὐκοῦν ταὐτόν ἐστιν οὗ τε ἕνεκα γέγονέ τι καὶ οὗ
ἕνεκα δεῖ γεγονέναι· οἷον εἰ πλοῖον ἕνεκα τῆς κατὰ
θάλατταν κομιδῆς ἔδει γίγνεσθαι, διὰ τοῦτο καὶ γέγονε.
καὶ μὴν τά γε ζῷα τῶν φύσει ⟨τε καὶ κατὰ φύσιν⟩

6 ἂν addidit K ‖ 17 γεγονός· τό ‖ 18 sq. post τῷ κατὰ φύσιν lacunam signavit Vitelli explendam ⟨ἐναντίον. ἡ οὖν κατὰ φύσιν⟩ vel plenius ⟨ἐναντίον· εἰ δὲ καλῶς, ὀρθῶς· εἰ δὲ ὀρθῶς, ἕνεκά του. ἅπασα οὖν ἡ κατὰ φύσιν⟩: ἡ pro τῷ scripserat K ‖ 27 τε καὶ κατὰ φύσιν addidit Vitelli.

γεγενημένων ἐστὶν ἤτοι πάντα τοπαράπαν ἢ τὰ βέλ-
57 A. τιστα καὶ τιμιώτατα· διαφέρει γὰρ οὐδὲν εἴ τις αὐτῶν
τὰ πολλὰ παρὰ φύσιν οἴεται γεγενῆσθαι διά τινα
φθορὰν καὶ μοχθηρίαν. τιμιώτατον δέ γε τῶν ἐν-
ταῦθα ζῴων ἄνθρωπός ἐστιν, ὥστε δῆλον ὅτι φύσει
τε καὶ κατὰ φύσιν γέγονε. καὶ τοῦτό ἐστι τῶν ὄντων
οὗ χάριν ἡ φύσις ἡμᾶς ἐγέννησε καὶ ὁ θεός. τί δὴ
τοῦτό ἐστι Πυθαγόρας ἐρωτώμενος, 'τὸ θεάσασθαι' εἶπε
146 K. 'τὸν οὐρανόν', καὶ ἑαυτὸν δὲ θεωρὸν ἔφασκεν εἶναι τῆς
φύσεως καὶ τούτου ἕνεκα παρεληλυθέναι εἰς τὸν βίον.
καὶ Ἀναξαγόραν δέ φασιν εἰπεῖν ἐρωτηθέντα τίνος ἂν
ἕνεκα ἕλοιτο γενέσθαι τις καὶ ζῆν, ἀποκρίνασθαι πρὸς
τὴν ἐρώτησιν· ὡς 'τοῦ θεάσασθαι [τὰ περὶ] τὸν οὐ-
ρανὸν καὶ ⟨τὰ⟩ περὶ αὐτὸν ἄστρα τε καὶ σελήνην καὶ
ἥλιον', ὡς τῶν ἄλλων γε πάντων οὐδενὸς ἀξίων ὄντων.
εἰ τοίνυν παντὸς ἀεὶ τὸ τέλος ἐστὶ βέλτιον (ἕνεκα
γὰρ τοῦ τέλους πάντα γίγνεται τὰ γιγνόμενα, τὸ δ'
οὗ ἕνεκα βέλτιον καὶ βέλτιστον πάντων), τέλος δὲ κατὰ
φύσιν τοῦτό ἐστιν ὃ κατὰ τὴν γένεσιν πέφυκεν ὕστατον
ἐπιτελεῖσθαι περαινομένης τῆς γενέσεως συνεχῶς· οὐκ-
οῦν πρῶτον μὲν τὰ κατὰ τὸ σῶμα τῶν ἀνθρώπων
λαμβάνει τέλος, ὕστερον δὲ τὰ κατὰ τὴν ψυχήν, καί
πως ἀεὶ τὸ τοῦ βελτίονος τέλος ὑστερίζει τῆς γενέσεως.
58 A. οὐκοῦν ψυχὴ σώματος ὕστερον, καὶ τῶν τῆς ψυχῆς
τελευταῖον ἡ φρόνησις· τοῦτο γὰρ ὕστατον ὁρῶμεν

8 ἐρωτ.] ἐν Φλιοῦντι addunt summaria p. 4, 11; cf. Cic. l. c. ad p. 53, 19 ‖ 11 sqq. cf. Eudem. Eth. Α 5 p. 1216ª, 11 sqq. Sternbach ad Gnom. Vat. 114 (Wiener Studien X 20).

6 sq. καὶ τοῦτο τῶν ὄντων — θεός, τί δὴ malit K: καὶ τί ποτ' ἐστὶ τῶν ὄντων — θεός; τί δή? Vitelli ‖ 11 'εἰπεῖν redundat' K. at cf. Eudem. ‖ 13 τὰ περὶ delevi ‖ 14 τὰ addidi ‖ 20 περαινομένης scripsi: περαιουμένης marg., παιρομένοις in textu.

γιγνόμενον φύσει τοῖς ἀνθρώποις, διὸ καὶ τὸ γῆρας ἀντιποιεῖται τούτου μόνου τῶν ἀγαθῶν· φρόνησις ἄρα τις κατὰ φύσιν ἡμῖν ἐστι τὸ τέλος καὶ τὸ φρονεῖν ἔσχατον οὗ χάριν γεγόναμεν. οὐκοῦν εἰ γεγόναμεν, 148 K. δῆλον ὅτι καὶ ἐσμὲν ἕνεκα τοῦ φρονῆσαί τι καὶ μαθεῖν. καλῶς ἄρα κατά γε τοῦτον τὸν λόγον Πυθαγόρας εἴρηκεν ὡς ἐπὶ τὸ γνῶναί τε καὶ θεωρῆσαι πᾶς ἄνθρωπος ὑπὸ τοῦ θεοῦ συνέστηκεν. ἀλλὰ τοῦτο τὸ γνωστὸν πότερον ὁ κόσμος ἐστὶν ἤ τις ἑτέρα φύσις, σκεπτέον ἴσως ὕστερον, νῦν δὲ τοσοῦτον ἱκανὸν τὴν πρώτην ἡμῖν. εἰ γάρ ἐστι κατὰ φύσιν τέλος ἡ φρόνησις, ἄριστον ἂν εἴη πάντων τὸ φρονεῖν. ὥστε τὰ μὲν ἄλλα δεῖ πράττειν ἕνεκα τῶν ἐν αὐτῷ γιγνομένων ἀγαθῶν, τούτων δὲ αὐτῶν τὰ μὲν ἐν τῷ σώματι τῶν ἐν ⟨τῇ⟩ ψυχῇ, τὴν δὲ ἀρετὴν τῆς φρονήσεως· τοῦτο γάρ ἐστιν ἀκρότατον. τὸ δὲ ζητεῖν ἀπὸ πάσης ἐπιστήμης ἕτερόν τι γενέσθαι καὶ δεῖν χρησίμην αὐτὴν εἶναι, παντάπασιν ἀγνοοῦντός τινός ἐστιν ὅσον διέστηκεν ἐξ ἀρχῆς τὰ ἀγαθὰ καὶ τὰ ἀναγκαῖα· διαφέρει γὰρ πλεῖστον. τὰ μὲν γὰρ δι' ἕτερον ἀγαπώμενα τῶν 59 A. πραγμάτων, ὧν ἄνευ ζῆν ἀδύνατον, ἀναγκαῖα καὶ 150 K. συναίτια λεκτέον, ὅσα δὲ δι' αὑτά, κἂν ἀποβαίνῃ μηδὲν ἕτερον, ἀγαθὰ κυρίως· οὐ γὰρ δὴ τόδε μὲν αἱρετὸν διὰ τόδε, τόδε δὲ δι' ἄλλο, τοῦτο δὲ εἰς ἄπειρον οἴχεται προϊόν, ἀλλ' ἵσταταί που. γελοῖον οὖν ἤδη παντελῶς τὸ ζητεῖν ἀπὸ παντὸς ὠφέλειαν ἑτέραν παρ' αὐτὸ τὸ πρᾶγμα, καὶ 'τί οὖν ἡμῖν ὄφελος;' καὶ 'τί χρήσιμον;' ἐρωτᾶν. ὡς ἀληθῶς γάρ, ὅπερ λέγομεν,

16. p. 54, 5 Arist. fr. 58 R. (p. 68, 19. 69, 26).

7 τὸ] fort. τῷ ‖ 15 τῇ addidit K ‖ 21 ἀναγκαία.

οὐδὲν ἔοικεν ὁ τοιοῦτος εἰδότι καλὸν κἀγαθὸν οὐδὲ τί αἴτιον τῷ διαγιγνώσκοντι καὶ συναίτιον. ἴδοι δ' ἄν τις ὅτι παντὸς μᾶλλον ἀληθῆ ταῦτα λέγομεν, εἴ τις ἡμᾶς οἷον εἰς μακάρων νήσους τῇ διανοίᾳ κομίσειεν. ἐκεῖ γὰρ οὐδενὸς χρεία οὐδὲ τῶν ἄλλων τινὸς ὄφελος ἂν γένοιτο, μόνον δὲ καταλείπεται τὸ διανοεῖσθαι καὶ θεωρεῖν, ὅνπερ καὶ νῦν ἐλεύθερόν φαμεν βίον εἶναι. εἰ δὲ ταῦτ' ἐστὶν ἀληθῆ, πῶς οὐκ ἂν αἰσχύνοιτο δικαίως ὅστις ἡμῶν ἐξουσίας γενομένης ἐν μακάρων οἰκῆσαι νήσοις ἀδύνατος εἴη δι' ἑαυτόν; οὐκοῦν οὐ μεμπτὸς ὁ μισθός ἐστι τῆς ἐπιστήμης τοῖς ἀνθρώποις, οὐδὲ μικρὸν τὸ γιγνόμενον ἀπ' αὐτῆς ἀγαθόν. ὥσπερ γὰρ τῆς δικαιοσύνης, ὥς φασιν οἱ σοφοὶ τῶν ποιητῶν, ἐν Ἅιδου κομιζόμεθα τὰς δωρεάς, οὕτω τῆς φρονήσεως 152 K. ἐν μακάρων νήσοις, ὡς ἔοικεν. οὐδὲν οὖν δεινόν, ἂν μὴ φαίνηται χρησίμη οὖσα μηδ' ὠφέλιμος· οὐ γὰρ 60 A. ὠφέλιμον ἀλλ' ἀγαθὴν αὐτὴν εἶναί φαμεν, οὐδὲ δι' ἕτερον ἀλλὰ δι' ἑαυτὴν αἱρεῖσθαι αὐτὴν προσήκει. ὥσπερ γὰρ εἰς Ὀλυμπίαν αὐτῆς ἕνεκα τῆς θέας ἀποδημοῦμεν, καὶ εἰ μηδὲν μέλλοι πλεῖον ἀπ' αὐτῆς ἔσεσθαι (αὐτὴ γὰρ ἡ θεωρία κρείττων πολλῶν ἐστι χρημάτων), καὶ τὰ Διονύσια δὲ θεωροῦμεν οὐχ ὡς ληψόμενοί τι παρὰ τῶν ὑποκριτῶν ἀλλὰ καὶ προσθέντες, πολλάς τε ἄλλας θέας ἑλοίμεθα ⟨ἂν⟩ ἀντὶ πολλῶν χρημάτων· οὕτω καὶ τὴν θεωρίαν τοῦ παντὸς προτιμητέον πάντων τῶν δοκούντων εἶναι χρησίμων.

3 sq. cf. Arist. polit. *Δ* (*H*). 1334^a, 31 ‖ 19 sqq. cf. Cicer. Tusc. 5, 3, 8 sq. Iambl. Vit. Pyth. 58 p. 39, 16 sqq. Nauck.

2 τῷ deleverim ‖ 23 προσδόντες Diels. cf. Nauck ad V. P. 128 (p. 93, 12 Addend.) ‖ 24 ἂν addidit K, nescio unde.

οὐ γὰρ δήπου ἐπὶ μὲν ἀνθρώπους μιμουμένους γύναια καὶ δούλους, τοὺς δὲ μαχομένους καὶ θέοντας, δεῖ πορεύεσθαι μετὰ πολλῆς σπουδῆς ἕνεκα τοῦ θεάσασθαι αὐτούς, τὴν δὲ τῶν ὄντων φύσιν καὶ τὴν ἀλήθειαν οὐκ οἴεσθαι δεῖν θεωρεῖν ἀμισθί. οὕτω μὲν οὖν ἀπὸ τοῦ βουλήματος τῆς φύσεως ἐπιόντες προετρέψαμεν ἐπὶ τὸ φρονεῖν ὡς ἐπὶ ἀγαθόν τε ὑπάρχον καὶ δι' αὐτὸ τίμιον, κἂν μηδὲν ἀπ' αὐτοῦ χρήσιμον γίγνηται ὡς πρὸς τὸν ἀνθρώπινον βίον.

X. Ἀλλὰ μὴν ὅτι γε καὶ ὠφελείας τὰς μεγίστας 154 K. ἡμῖν πρὸς τὸν ἀνθρώπινον βίον παρέχεται ἡ θεωρητικὴ φρόνησις, εὑρήσει τις ῥᾳδίως ἀπὸ τῶν τεχνῶν. ὥσπερ 61 A. γὰρ τῶν ἰατρῶν ὅσοι κομψοὶ καὶ τῶν περὶ τὴν γυμναστικὴν οἱ πλεῖστοι σχεδὸν ὁμολογοῦσιν ὅτι δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἰατροὺς ἔσεσθαι καὶ γυμναστὰς περὶ φύσεως ἐμπείρους εἶναι, οὕτω καὶ τοὺς ἀγαθοὺς νομοθέτας ἐμπείρους εἶναι δεῖ τῆς φύσεως, καὶ πολύ γε μᾶλλον ἐκείνων. οἱ μὲν γὰρ τῆς τοῦ σώματος ἀρετῆς εἰσι δημιουργοὶ μόνον, οἱ δὲ περὶ τὰς τῆς ψυχῆς ἀρετὰς ὄντες καὶ περὶ πόλεως εὐδαιμονίας καὶ κακοδαιμονίας διδάξειν προσποιούμενοι πολὺ δὴ μᾶλλον προσδέονται φιλοσοφίας. καθάπερ γὰρ ἐν ταῖς ἄλλαις τέχναις ταῖς δημιουργικαῖς ἀπὸ τῆς φύσεως εὕρηται τὰ βέλτιστα τῶν ὀργάνων, οἷον ἐν τεκτονικῇ στάθμη καὶ κανὼν καὶ τόρνος † τὰ μὲν ὕδατι καὶ φωτὶ καὶ ταῖς αὐγαῖς τῶν ἀκτίνων ληφθέντων, πρὸς ἃ κρίνοντες τὸ κατὰ τὴν αἴσθησιν ἱκανῶς εὐθὺ καὶ λεῖον βασανίζο-

1 ⟨τοὺς μὲν⟩ μιμουμ. Rose, at v. Sauppe ad Plat. Protag. p. 330 A. Vahlen ad Ar. Poet. 1447ᵇ, 14 (p. 91³) ‖ 7 ἀγαθόν τι scr. K ‖ 21 διδάξειν in marg., ἐπάξειν in textu ‖ 25 τὰ μὲν] τἆλλ⟨α⟩, ἐν? Vitelli: [τὰ] ἐν Diels ‖ 26 ληφθέντα coniecit verisimiliter K, scripsit autem ληφθεισῶν.

156 K. μεν, ὁμοίως δὲ καὶ τὸν πολιτικὸν ἔχειν τινὰς ὅρους δεῖ ἀπὸ τῆς φύσεως αὐτῆς καὶ τῆς ἀληθείας, πρὸς οὓς κρινεῖ τί δίκαιον καὶ τί καλόν καὶ τί συμφέρον. ὥσπερ γὰρ ἐκεῖ τῶν ὀργάνων ταῦτα διαφέρει πάντων, οὕτω καὶ νόμος κάλλιστος ὁ μάλιστα κατὰ φύσιν 62 A. κείμενος. τοῦτο δ' οὐχ οἷόν τε μὴ φιλοσοφήσαντα δύνασθαι ποιεῖν μηδὲ γνωρίσαντα τὴν ἀλήθειαν. καὶ τῶν μὲν ἄλλων τεχνῶν τά τε ὄργανα καὶ τοὺς λογισμοὺς τοὺς ἀκριβεστάτους οὐκ ἀπ' αὐτῶν τῶν πρώτων λαβόντες σχεδὸν ἴσασιν, ἀλλ' ἀπὸ τῶν δευτέρων καὶ τρίτων καὶ πολλοστῶν, τούς τε λόγους ἐξ ἐμπειρίας λαμβάνουσι· τῷ δὲ φιλοσόφῳ μόνῳ τῶν ἄλλων ἀπ' αὐτῶν τῶν ἀκριβῶν ἡ μίμησίς ἐστιν· αὐτῶν γάρ ἐστι θεατής, ἀλλ' οὐ μιμημάτων. ὥσπερ οὖν οὐδ' οἰκοδόμος ἀγαθός ἐστιν οὗτος ὅστις κανόνι μὲν μὴ χρῆται μηδὲ τῶν ἄλλων μηδενὶ τῶν τοιούτων ὀργάνων, ἑτέροις δὲ οἰκοδομήμασι παραβάλλων, ὁμοίως ἴσως κἂν εἴ τις 158 K. ἢ νόμους τίθεται πόλεσιν ἢ πράττει πράξεις ἀποβλέπων καὶ μιμούμενος πρὸς ἑτέρας πράξεις ἢ πολιτείας ἀνθρωπίνας Λακεδαιμονίων ἢ Κρητῶν ἤ τινων ἄλλων τοιούτων, οὐκ ἀγαθὸς νομοθέτης οὐδὲ σπουδαῖος· οὐ γὰρ ἐνδέχεται μὴ καλοῦ μίμημα καλὸν εἶναι, μηδὲ θείου καὶ βεβαίου τὴν φύσιν ἀθάνατον καὶ βέβαιον, ἀλλὰ μόνον ὅτι μόνου τῶν δημιουργῶν τοῦ φιλοσόφου καὶ νόμοι βέβαιοι καὶ πράξεις εἰσὶν ὀρθαὶ καὶ καλαί. 63 A. μόνος γὰρ πρὸς τὴν φύσιν βλέπων ζῇ καὶ πρὸς τὸ θεῖον, καὶ καθάπερ ἂν εἰ κυβερνήτης τις ἀγαθὸς ἐξ

8 sqq. cf. Archyt. ap. Stob. Ecl. I 48, 6 (p. 316, 9 sqq. Wachsm.).

18 πράττει scripsi: πράττη. ex contrario τίθηται (immo τιθῆται) scr. K, cf. Vahlen ad Ar. Poet. p. 1447ᵃ, 25 (p. 88³ sq.) ‖ 19 καὶ μιμούμενος delet Vitelli ‖ 24 μόνον] δῆλον Vitelli.

ἀιδίων καὶ μονίμων ἀναψάμενος τοῦ βίου τὰς ἀρχὰς ὁρμεῖ καὶ ζῇ καθ᾽ ἑαυτόν. ἔστι μὲν οὖν θεωρητικὴ ἥδε ἡ ἐπιστήμη, παρέχει δ᾽ ἡμῖν τὸ δημιουργεῖν κατ᾽ αὐτὴν ἅπαντα. ὥσπερ γὰρ ἡ ὄψις ποιητικὴ μὲν καὶ δημιουργὸς οὐδενός ἐστι (μόνον γὰρ αὐτῆς ἔργον ἐστὶ τὸ κρίνειν καὶ δηλοῦν ἕκαστον τῶν ὁρατῶν), ἡμῖν δὲ παρέχει τὸ πράττειν τι δι᾽ αὐτὴν καὶ βοηθεῖ πρὸς τὰς πράξεις ἡμῖν τὰ μέγιστα (σχεδὸν γὰρ ἀκίνητοι παντελῶς ἂν εἶμεν στερηθέντες αὐτῆς), οὕτω δῆλον ὅτι καὶ τῆς ἐπιστήμης θεωρητικῆς οὔσης μυρία πράττομεν κατ᾽ αὐτὴν ὅμως ἡμεῖς, καὶ τὰ μὲν λαμβάνομεν τὰ δὲ φεύγομεν τῶν πραγμάτων, 160 K. καὶ ὅλως πάντα τὰ ἀγαθὰ δι᾽ αὐτὴν κτώμεθα.

XI. Ὅτι τοίνυν τοῖς ἑλομένοις τὸν κατὰ νοῦν βίον καὶ τὸ ζῆν ἡδέως μάλιστα ὑπάρχει, δῆλον ἂν γένοιτο ἐντεῦθεν. φαίνεται διττῶς λέγεσθαι τὸ ζῆν, τὸ μὲν κατὰ δύναμιν τὸ δὲ κατ᾽ ἐνέργειαν· ὁρῶντα γὰρ εἶναί φαμεν ὅσα τε ἔχει τῶν ζῴων ὄψιν καὶ δυνατὰ πέφυκεν ἰδεῖν, κἂν μύοντα τυγχάνῃ, καὶ τὰ χρώμενα τῇ δυνάμει καὶ προσβάλλοντα τὴν ὄψιν. ὁμοίως δὲ καὶ τὸ ἐπίστασθαι 64 A. καὶ τὸ γιγνώσκειν, ἓν μὲν τὸ χρῆσθαι καὶ θεωρεῖν λέγομεν, ἓν δὲ τὸ κεκτῆσθαι τὴν δύναμιν καὶ τὴν ἐπιστήμην ἔχειν. εἰ τοίνυν τῷ μὲν αἰσθάνεσθαι τὸ ζῆν διακρίνομεν καὶ τὸ μὴ ζῆν, τὸ δ᾽ αἰσθάνεσθαι διττόν, κυρίως μὲν τὸ χρῆσθαι ταῖς αἰσθήσεσιν ἄλλως δὲ τὸ δύνασθαι (διόπερ φαμὲν αἰσθάνεσθαι * * * καὶ

23 sqq. cf. Arist. Top. *E* 2. 129[b], 33 sqq.

2 ὁρμεῖ Vitelli: ὁρμᾷ ‖ 8 εἶμεν apogr. Franeq. teste A: ημεν ‖ 24 τὸ ante χρῆσθαι et 25 ante δύνασθαι scripsit K: τῷ utrobique ‖ 25 ante καὶ lacunam statuit Vitelli explendam fere ⟨καὶ τὸν ἐγρηγορότα καὶ τὸν καθεύδοντα, διὰ τὸ δύνασθαι εἰς αἴσθησιν μεταβάλλειν αἰσθάνεσθαι⟩.

τὸν καθεύδοντα λέγοντες, ὡς ἔοικε), δῆλον ὅτι καὶ τὸ ζῆν ἀκολουθήσει διττῶς λεγόμενον· τὸν μὲν γὰρ ἐγρηγορότα φατέον ζῆν ἀληθῶς καὶ κυρίως, τὸν δὲ καθεύδοντα διὰ τὸ δύνασθαι μεταβάλλειν εἰς ταύτην τὴν 162 K. κίνησιν, καθ᾽ ἣν λέγομεν ἐγρηγορέναι τε καὶ τῶν πραγμάτων αἰσθάνεσθαί τινος. διὰ τοῦτο καὶ εἰς τοῦτο βλέποντες, ὅταν οὖν λέγηταί τι ταὐτὸν ἑκάτερον δυοῖν ὄντοιν, ᾗ δὲ θάτερον λεγόμενον ἢ τὸ ποιεῖν ἢ τὸ πάσχειν, τούτῳ μᾶλλον ἀποδώσομεν ὑπάρχειν τὸ λεχθέν, οἷον ἐπίστασθαι μὲν μᾶλλον τὸν χρώμενον τοῦ τὴν ἐπιστήμην ἔχοντος, ὁρᾶν δὲ τὸν προσβάλλοντα τὴν ὄψιν τοῦ δυναμένου προσβάλλειν. οὐ γὰρ μόνον τὸ μᾶλλον λέγομεν καθ᾽ ὑπεροχὴν ὧν ἂν εἷς ᾖ λόγος, ἀλλὰ καὶ κατὰ τὸ πρότερον εἶναι τὸ δὲ ὕστερον, οἷον τὴν ὑγείαν τῶν ὑγιεινῶν μᾶλλον ἀγαθὸν εἶναί φαμεν, 65 A. καὶ τὸ καθ᾽ αὑτὸ τὴν φύσιν αἱρετὸν τοῦ ποιητικοῦ. 164 K. καίτοι τόν γε λόγον ὁρῶμεν ὡς οὐχ ᾗ ἐστι κατηγορούμενος ἀμφοῖν, ὅτι ἀγαθὸν ἑκάτερον ἐπί τε τῶν ὠφελίμων καὶ τῆς ἀρετῆς. καὶ ζῆν ἄρα μᾶλλον φατέον τὸν ἐγρηγορότα τοῦ καθεύδοντος καὶ τὸν ἐνεργοῦντα τῇ ψυχῇ τοῦ μόνον ἔχοντος· διὰ γὰρ ἐκεῖνον καὶ τοῦτον ζῆν φαμεν, ὅτι τοιοῦτός ἐστιν οἷος ἐκεῖνος πάσχειν ἢ ποιεῖν. οὐκοῦν τό γε χρῆσθαι παντὶ τοῦτ᾽ ἐστίν, ὅταν εἰ μὲν ἑνὸς ἡ δύναμίς ἐστι, τοῦτο αὐτὸ πράττῃ τις, εἰ δὲ πλειόνων τὸν ἀριθμόν, ὃ ἂν τούτων τὸ βέλτιστον, οἷον αὐλοῖς, ἤτοι μόνον ὅταν αὐλῇ χρῆταί τις ἢ μάλιστα· ἴσως γὰρ ἐπὶ τούτῳ καὶ τὰ τῶν ἄλλων.

8 ᾗ τὸ utrobique A: ἢ τῷ ‖ 14 κατὰ τὸ ⟨τὸ μὲν⟩ exspectes, at cf. ad p. 54, 1 ‖ 17 οὐχ ᾗ Vitelli: οὐχὶ ‖ 18 de ὅτι post ὡς v. Bonitz, Ind. Aristot. p. 872[a], 1 sqq. ‖ 22 fort. οἷος ⟨ὡς⟩ ἐκεῖνος vel οἷος ἐκείνως.

οὐκοῦν καὶ μᾶλλον χρῆσθαι τὸν ὀρθῶς χρώμενον φα-
τέον· τὸ γὰρ ἐφ' ᾧ καὶ ὣς πέφυκεν ὑπάρχειν τῷ χρω-
μένῳ καλῶς καὶ ἀκριβῶς. ἔστι δὴ καὶ ψυχῆς ἤτοι
μόνον ἢ μάλιστα πάντων ἔργον τὸ διανοεῖσθαί τε καὶ
λογίζεσθαι. ἁπλοῦν ἄρα ἤδη τοῦτο καὶ παντὶ συλλογί-
ζεσθαι ῥᾴδιον ὅτι ζῇ μᾶλλον ὁ διανοούμενος ὀρθῶς
καὶ μάλιστα πάντων ὁ μάλιστα ἀληθεύων, οὗτος δέ 166 K.
ἐστιν ὁ φρονῶν καὶ θεωρῶν κατὰ τὴν ἀκριβεστάτην
ἐπιστήμην· καὶ τό γε τελέως ζῆν τότε καὶ τούτοις
ἀποδοτέον, τοῖς φρονοῦσι καὶ τοῖς φρονίμοις. εἰ δὲ 66 A.
τὸ ζῆν ἐστι τῷ ζῴῳ γε ταὐτὸν παντὶ ὅπερ εἶναι, δῆλον
ὅτι κἂν εἴη γε μάλιστα καὶ κυριώτατα πάντων ὁ φρόνι-
μος, καὶ τότε μάλιστα τοῦ χρόνου παντὸς ὅταν ἐνεργῇ
καὶ τυγχάνῃ θεωρῶν τὸ μάλιστα τῶν ὄντων γνώριμον.
ἀλλὰ μὴν ἥ γε τελεία ἐνέργεια καὶ ἀκώλυτος ἐν ἑαυτῇ
ἔχει τὸ χαίρειν, ὥστε ἂν εἴη ἡ θεωρητικὴ ἐνέργεια
πασῶν ἡδίστη. ἔτι τοίνυν ἕτερόν ἐστιν τὸ ἡδόμενον
πίνειν καὶ τὸ ἡδέως πίνειν· οὐδὲν γὰρ κωλύει μὴ
διψῶντά τινα μηδὲ οἴῳ χαίρει πόματι προσφερόμενον
πίνοντα χαίρειν, μὴ τῷ πίνειν ἀλλὰ τῷ συμβαίνειν
ἅμα θεωρεῖν ἢ θεωρεῖσθαι καθήμενον. οὐκοῦν τοῦ-
τον ἥδεσθαι μὲν καὶ ἡδόμενον πίνειν φήσομεν, ἀλλ'
οὐ τῷ πίνειν οὐδὲ ἡδέως πίνειν. οὐκοῦν οὕτως καὶ
βάδισιν καὶ καθέδραν καὶ μάθησιν καὶ πᾶσαν κίνησιν
ἐροῦμεν ἡδεῖαν ἢ λυπηράν, οὐχ ὅσων συμβαίνει λυπεῖ- 168 K.
σθαι παρουσῶν ἡμᾶς ἢ χαίρειν, ἀλλ' ὧν τῇ παρουσίᾳ
καὶ λυπούμεθα πάντες καὶ χαίρομεν. καὶ ζωὴν οὖν
ἡδεῖαν ὁμοίως ἐροῦμεν, ἧς ἡ παρουσία τοῖς ἔχουσιν

---

2 ᾧ καὶ ὣς Vitelli: ὃ καὶ ὡς ‖ πέφυκεν, ὑπάρχει scripserat K ‖ 11 τῷ ζῴῳ A: τὸ ζώω.

ἡδεῖα, καὶ ζῆν ἡδέως οὐ πάντας ὅσοις ζῶσι συμβαίνει
χαίρειν, ἀλλ' οἷς αὐτὸ τὸ ζῆν ἡδὺ καὶ χαίρουσι τὴν
ἀπὸ ζωῆς ἡδονήν. οὐκοῦν τὸ ζῆν ἀποδίδομεν τῷ μὲν
67 A. ἐγρηγορότι μᾶλλον ἢ τῷ καθεύδοντι, τῷ φρονοῦντι
δὲ ἢ τῷ ἄφρονι μᾶλλον, τὴν δ' ἀπὸ ζωῆς ἡδονὴν τὴν
ἀπὸ τῆς χρήσεως γιγνομένην φαμὲν εἶναι τῆς ψυχῆς·
τοῦτο γάρ ἐστι τὸ ζῆν ἀληθῶς. εἰ τοίνυν καὶ πολλαὶ
ψυχῆς εἰσι χρήσεις, ἀλλὰ κυριωτάτη γε πασῶν ἡ τοῦ
φρονεῖν ὅ τι μάλιστα. δῆλον τοίνυν ὅτι καὶ τὴν γιγνο-
μένην ἀπὸ τοῦ φρονεῖν καὶ θεωρεῖν ἡδονὴν ἢ μόνην
ἢ μάλιστα ἀναγκαῖον ἀπὸ τοῦ ζῆν εἶναι. τὸ ζῆν ἄρα
ἡδέως καὶ τὸ χαίρειν ὡς ἀληθῶς ἤτοι μόνοις ἢ μάλιστα
ὑπάρχει τοῖς φιλοσόφοις. ἡ γὰρ τῶν ἀληθεστάτων
νοήσεων ἐνέργεια καὶ ἀπὸ τῶν μάλιστα ὄντων πληρου-
170 K. μένη καὶ στέγουσα ἀεὶ μονίμως τὴν ἐνδιδομένην τελειό-
τητα, αὕτη πασῶν ἐστι καὶ πρὸς εὐφροσύνην ἀνυσιμω-
τάτη. ὥστε καὶ δι' αὐτὸ τὸ χαίρειν τὰς ἀληθεῖς καὶ
ἀγαθὰς ἡδονὰς φιλοσοφητέον ἐστὶ τοῖς νοῦν ἔχουσιν.

XII. *Εἰ* δὲ δεῖ μὴ μόνον ἀπὸ τῶν μερῶν τοῦτο
συλλογίσασθαι, ἀλλὰ καὶ ἀπὸ τῆς ὅλης εὐδαιμονίας ἄνω-
θεν τὸ αὐτὸ κατασκευάσαι, λέγωμεν διαρρήδην ὅτι δὴ
ὡς ἔχει πρὸς εὐδαιμονίαν τὸ φιλοσοφεῖν, οὕτω καὶ πρὸς
τὸ σπουδαῖον ἡμῖν ἢ φαῦλον εἶναι αὐτὸ διακεῖσθαι.
πάντα γὰρ τὰ μὲν πρὸς τοῦτο τὰ δὲ διὰ τοῦτο πᾶσιν
68 A. αἱρετέον εἶναι, καὶ τὰ μὲν ὡς ἀναγκαῖα τῶν πραγμά-
των τὰ δὲ ἡδέα δι' ὧν εὐδαιμονοῦμεν. οὐκοῦν τὴν
εὐδαιμονίαν τιθέμεθα ἤτοι φρόνησιν εἶναι καί τινα
σοφίαν ἢ τὴν ἀρετὴν ἢ τὸ μάλιστα χαίρειν ⟨ἢ⟩ πάντα

---

23 ἡμῖν ⟨μᾶλλον⟩ ἢ coni. K: verisimilius v. 22 εὐδαιμονίαν ⟨ἢ κακοδαιμονίαν⟩ conicias, sed neutrum necessarium videtur ‖ 25 εἶναι induxerim ‖ 28 ἢ extremum addidit Vulcanius.

ταῦτα. οὐκοῦν εἴτε φρόνησίς ἐστι, φανερὸν ὅτι μόνοις ἂν ὑπάρχοι τοῖς φιλοσόφοις τὸ ζῆν εὐδαιμόνως, εἴτε 172 K. ἀρετὴ ψυχῆς ἢ τὸ χαίρειν, κἂν οὕτως ἢ μόνοις ἢ μάλιστα πάντων· ἀρετὴ γάρ ἐστι τὸ κυριώτατον τῶν ἐν ἡμῖν, ἥδιστόν τε πάντων ἐστὶν ὡς ἓν πρὸς ἓν ἡ φρόνησις. ὁμοίως δὲ κἂν ταῦτα πάντα ταὐτὰ φῇ τις εἶναι τὴν εὐδαιμονίαν, ὁριστέον ἐστὶ τὸ φρονεῖν. ὥστε φιλοσοφητέον ἂν εἴη πᾶσι τοῖς δυναμένοις· ἢ γάρ τοι τοῦτ᾽ ἐστὶ τὸ τελέως εὖ ζῆν, ἢ μάλιστά γε πάντων ὡς ἓν εἰπεῖν αἴτιον ταῖς ψυχαῖς. ἀλλ᾽ ἐνταῦθα μὲν διὰ τὸ παρὰ φύσιν ἴσως εἶναι τὸ γένος ἡμῶν χαλεπὸν τὸ μανθάνειν τι καὶ σκοπεῖν ἐστι, καὶ μόλις αἰσθάνοιτο, διὰ τὴν ἀφυΐαν καὶ τὴν παρὰ φύσιν ζωήν· ἂν δέ ποτε δυνηθῶμεν σωθῆναι πάλιν ὅθεν ἐληλύθαμεν, δῆλον ὡς ἥδιον καὶ ῥᾷον αὐτὸ ποιήσομεν πάντες. νῦν μὲν γὰρ ἀφειμένοι τῶν ἀγαθῶν διατελοῦμεν πράττοντες τὰ ἀναγκαῖα, καὶ μάλιστα πάντων οἱ μάλιστα μακάριοι δοκοῦντες εἶναι τοῖς πολλοῖς· ἐὰν δὲ τῆς οὐρανίας ὁδοῦ λαβώμεθα καὶ ἐπὶ τὸ σύννομον ἄστρον τὴν 174 K. 69 A. ζωὴν τὴν ἑαυτῶν ἀπερείσωμεν, τότε φιλοσοφήσομεν ζῶντες ἀληθῶς καὶ θεώμενοι θεωρίας ἀμηχάνους τὸ κάλλος, ἀτενίζοντες τῇ ψυχῇ πρὸς τὴν ἀλήθειαν ἀραρότως καὶ θεώμενοι τὴν τῶν θεῶν ἀρχήν, εὐφραινόμενοι καὶ χαίροντες συνεχῶς ἀπὸ τοῦ θεωρεῖν, ἡδόμενοι

---

19 ἐπὶ τὸ σύνν. ἄστρον] cf. Plat. Tim. p. 42 B. ‖ 21 sq. cf. Plat. Civit. X p. 615 A θέας ἀμηχάνους τὸ κάλλος.

---

7 αἱρετέον emendat Vulcanius ‖ 12 ⟨ἂν⟩ αἰσθάνοιτο scribendum: τις addi voluit A, quo facile carebimus (cf. Bonitz, Ind. Arist. p. 589b, 47 sqq.). conicias etiam plura excidisse post αἰσθάνεσθαι ‖ 19 σύννομον A in Castigatt.: σύνομον in textu et rurs. in marg.

χωρὶς πάσης λύπης. οὕτως οὖν ἐπιόντες εἰς πᾶσαν εὐδαιμονίαν εὑρίσκομεν ἡμῖν συμβαλλόμενον τὸ φιλοσοφεῖν· διόπερ αὐτοῦ ἀντιλαμβάνεσθαι ἄξιον ὡς σπουδαιοτάτου καὶ μάλιστα ἡμῖν προσήκοντος.

XIII. Εἰ δὲ δεῖ καὶ ἀπὸ τῶν περὶ φιλοσοφίας ἐννοιῶν ποιήσασθαί τινα ἐπὶ τοῦτο παράκλησιν, ἴθι δὴ καὶ ἀπὸ τούτων ἐπέλθωμεν οὑτωσί. κινδυνεύουσιν ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας λεληθέναι τοὺς ἄλλους, ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι. καὶ μάλα 176 K. εἰκότως. λέληθε γὰρ τοὺς πολλοὺς ᾗ τε θανατῶσι καὶ ᾗ ἄξιοί εἰσι θανάτου καὶ οἵου θανάτου οἱ ὡς ἀληθῶς φιλόσοφοι. θάνατος μὲν οὖν ἐστιν οὐκ ἄλλο τι ἢ ἡ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγή, καὶ 70 A. ἔστι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ᾽ αὑτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ᾽ αὑτὴν εἶναι. τούτου δὴ οὖν οὕτως ἔχοντος, εἰκότως δὴ οὐκ ἔστι φιλοσόφου ἀνδρὸς ἐσπουδακέναι περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε, οἷον σίτων τε καὶ ποτῶν, οὐδὲ τὰς τῶν ἀφροδισίων· ἀλλ᾽ οὐδὲ τὰς ἄλλας τὰς περὶ τὸ σῶμα θεραπείας ἐντίμους ἡγήσεται ὁ τοιοῦτος, οἷον ἱματίων διαφερόντων κτήσεις καὶ ὑποδημάτων, καὶ τοὺς ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα οὐ τιμᾷ, ἀτιμάζει δὲ καθόσον μὴ πολλὴ 178 K. ἀνάγκη μετέχειν αὐτῶν. ὅλως δοκεῖ ἡ τοῦ τοιούτου πραγματεία οὐ περὶ τὸ σῶμα εἶναι, ἀλλὰ καθόσον

---

7. p. 62, 29 Plat. Phaedon. p. 64 A—65 D.

---

5 περὶ tuentur etiam summaria p. 4, 24 ‖ 6 τοῦτο Scaliger: τούτου.

δύναται ἀφεστάναι αὐτοῦ, πρὸς δὲ τὴν ψυχὴν τετράφθαι. καὶ ἐν τοῖς τοιούτοις οὖν δῆλός ἐστιν ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ δοκεῖ γέ που διὰ τοῦτο τοῖς πολλοῖς ἀνθρώποις, ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν, οὐκ ἄξιον εἶναι ζῆν, ἀλλ' ἐγγύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν αἳ διὰ τοῦ σώματός εἰσι. καὶ μὴν περί γε αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν ἐμπόδιον τὸ σῶμα, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει [71 A.] κοινωνὸν συμπαραλαμβάνῃ. οἷον τὸ τοιόνδε λέγω· οὐκ ἔχει ἀλήθειάν τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις· τὰ γὰρ τοιαῦτα οἱ ποιηταὶ ἀεὶ ἡμῖν θρυλλοῦσιν, ὅτι οὔτε ἀκούομεν ἀκριβὲς οὐδὲν οὔτε ὁρῶμεν. καίτοι εἰ αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσι μηδὲ σαφεῖς, σχολῇ αἵ γε ἄλλαι· πᾶσαι γάρ που τούτων φαυλότεραί εἰσιν. οὐκοῦν εἰ ἡ ψυχὴ τῆς ἀλη- [180 K.] θείας ἀποτυγχάνει, ὅταν μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν (δῆλον γὰρ ὅτι τότε ἐξαπατᾶται ὑπ' αὐτοῦ), πάντως που ἐν τῷ λογίζεσθαι, εἴπερ που ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τῶν ὄντων. λογίζεται δέ γέ που τότε κάλλιστα, ὅταν αὐτὴν τούτων μηδὲν παραλυπῇ, μήτε ἀκοὴ μήτε ὄψις μήτε ἀλγηδὼν μηδέ τις ἡδονή, ἀλλ' ὅτι μάλιστα αὐτὴ καθ' αὑτὴν γίγνηται ἐῶσα χαίρειν τὸ σῶμα, καὶ καθόσον δύνηται μὴ κοινωνοῦσα αὐτῷ μηδὲ ἁπτομένη ὀρέγηται τοῦ ὄντος. οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχὴ μάλιστα ἀτιμάζει τὸ σῶμα καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δὲ αὐτὴ καθ' αὑτὴν γίγνεσθαι.

22 που τότε PK: ποῦ (sic) ποτε ‖ 25 δύναται P.

Μάλιστα δὲ ἔσται τοῦτο δῆλον ἀπὸ τῆς τῶν εἰδῶν [72 A.] θεωρίας. τὸ γὰρ δίκαιον αὐτὸ καὶ καλὸν καὶ ἀγαθὸν καὶ πάντα οἷς ἐπισφραγιζόμεθα τὸ ὃ ἔστιν, οὐδεπώποτέ τις τοῖς ὀφθαλμοῖς εἶδεν, οὐδὲ ἄλλῃ τινὶ αἰσθήσει τῶν διὰ τοῦ σώματος ἐφήψατο αὐτῶν, ἀλλ' ὃς ἂν [182 K.] μάλιστα ἡμῶν καὶ ἀκριβέστατα παρασκευάσηται αὐτὸ ἕκαστον διανοηθῆναι περὶ οὗ σκοπεῖ, οὗτος ἂν ἐγγύτατα ἴοι τοῦ γνῶναι ἕκαστον. οὐκοῦν ἐκεῖνος ἂν τοῦτο ποιήσειεν καθαρώτατα, ὅστις ὅ τι μάλιστα αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι μήτε ἄλλην αἴσθησιν ἐφέλκων μηδεμίαν μετὰ τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ' αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ χρώμενος αὐτὸ καθ' αὑτὸ εἰλικρινὲς ἕκαστον ἐπιχειροίη θηρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς ὅ τι μάλιστα ὀφθαλμῶν τε καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν ξύμπαντος τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν κτήσασθαι ἀλήθειάν τε καὶ φρόνησιν, ὅταν κοινωνῇ. οὗτος γάρ ἐστιν, εἴπερ τις ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος. ἀνάγκη δὴ οὖν ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίοις φιλοσόφοις, ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτα ἄττα λέγειν, ὅτι κινδυνεύει τι ὥσπερ ἀτραπὸς ἐκφέρειν ἡμᾶς μετὰ [73 A.] τοῦ λόγου ἐν τῇ σκέψει, ὅτι, ἕως ἂν τὸ σῶμα ἔχωμεν [184 K.] καὶ ξυμπεφυρμένη ⟨ᾖ⟩ ἡμῶν ἡ ψυχὴ μετὰ τοιούτου κακοῦ, οὐ μήποτε κτησώμεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν· φαμὲν δὲ τοῦτο εἶναι τὸ ἀληθές. μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα διὰ τὴν ἀναγκαίαν

2. p. 65, 6 Plat. Phaedon. p. 65 D—67 B.

3 οὐδὲ πώποτε, ut solet ‖ 21 ἅττα ‖ 22 τοι vel τις Platonis codd. ‖ 24 ᾖ ex P addidit A ‖ 25 κτησόμεθα Scaliger.

τροφήν· ἔτι δὲ ἄν τινες νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν. ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς, ὥστε τὸ λεγόμενον ὡς ἀληθῶς τῷ ὄντι ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν. καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι. διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι γίνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ πάντα ταῦτα. τὸ δὲ ἔσχατον πάντων ὅτι, ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσιν αὖ πανταχοῦ παραπῖπτον θόρυβον παρέχει καὶ ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθορᾶν τἀληθές, ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται ὅτι, εἰ μέλλομέν 186 K. 74 A. ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα· καὶ τότε, ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καί φαμεν ἐρασταὶ εἶναι, φρόνησις, ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει, ζῶσι δὲ οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν τὰ ἕτερα, ἢ οὐδαμοῦ ἔστι κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασι· τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἔσται ἡ ψυχὴ χωρὶς τοῦ σώματος, πρότερον δὲ οὔ. καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕτως ὡς ἔοικεν ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅ τι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν, ὅ τι μὴ πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμπλώμεθα τῆς τούτου

14 τι, ἐν] τί ἐν ‖ 15 παραπίπτον ‖ 23 δυοῖν θάτερον P.

φύσεως ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. καὶ οὕτω μὲν καθαροὶ ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ 188 K. τοιούτων ἐσόμεθα καὶ γνωσόμεθα δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινές· τοῦτο δ' ἐστὶν ἴσως τὸ ἀληθές. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. κάθαρσις δὲ τοῦτο ξυμβαίνει, ὅπερ πάλαι ἐν τῷ λόγῳ λέγεται, τὸ χωρίζειν ὅ τι μάλιστα ἀπὸ τοῦ σώματος 75 A. τὴν ψυχὴν καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε καὶ ἀθροίζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν καὶ ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα μόνην καθ' αὑτήν, ἐκλυομένην ὥσπερ ἐκ δεσμῶν ἐκ τοῦ σώματος. τοῦτο δὲ θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. λύειν δέ γε αὐτήν, ὥς φαμεν, προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. ὥστε τὸ μέγιστον ἡμῖν ἀγαθὸν ἡ φιλοσοφία παρέχουσα, τὴν ἀπαλλαγὴν τῶν ἐν τῇ ψυχῇ καὶ γενέσει δεσμῶν, περισπούδαστος ἂν εἴη διαφερόντως.

190 K. Ἀλλὰ μὴν καὶ ἡ ὀνομαζομένη ἀνδρεία τοῖς οὕτω διακειμένοις μάλιστα προσήκει, καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι ἀλλ' ὀλιγώρως ἔχειν καὶ

7. 18 Plat. Phaedon. p. 67 C—D ‖ 22. p. 67, 16 Plat. Phaedon. p. 68 C—69 D.

2 οὕτοῦ ‖ 6 sq. θεμιτὸν ᾖ. κάθαρσις (ex P) Cobet: θεμιτόν. ἡ κάθ. ‖ 7 τοῦτο et 8 τὸ ‖ 8 μάλιστα (ex P) Scaliger: καθ' αὑτὴν ‖ 16 μόνοι PK: μόνην: an μόνον?

κοσμίως, τούτοις μόνοις προσήκει, τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν. εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. οἶσθα γὰρ 76 A.
δήπου ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων κακῶν. οὐκοῦν φόβῳ μειζόνων ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομένωσι. τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες πλὴν οἱ φιλόσοφοι. καίτοι ἄλογόν γε δέει τινὰ καὶ δειλίᾳ ἀνδρεῖον εἶναι. τί δὲ οἱ κόσμιοι αὐτῶν; οὐ ταὐτὸν τούτῳ πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καίτοι φαμέν γε ἀδύνατον εἶναι, ἀλλ' ὅμως αὐτοῖς συμβαίνει τούτῳ ὅμοιον τὸ πάθος τὸ περὶ ταύτην τὴν 192 K.
εὐήθη σωφροσύνην· φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται ὑπ' ἄλλων κρατούμενοι. καίτοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι· ἀλλ' ὅμως συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν. τοῦτο δ' ὅμοιόν ἐστιν ὃ νῦν δὴ ἔλεγον, τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. οὐ τοίνυν αὕτη ἐστὶν ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, μείζω πρὸς ἐλάττω, ὥσπερ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ 77 A.
νόμισμα ὀρθόν, ἀντὶ οὗ δεῖ πάντα ταῦτα καταλλάττεσθαι, φρόνησις, καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ συλλήβδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγινομένων 194 K.

11 εἴσι (sic) pr., corr. εἶναι ‖ 19 ἄλλων] sic ‖ fort. τούτῳ, at cf. P ubi ᾧ νῦν δὴ ἐλέγετο, τῷ κτλ. ‖ 20 ἔλεγε$^{\rho\nu}$ ‖ 24 et 27 ᾖ] ἢ et ἡ.

καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων σκιαγραφία τίς ἐστιν ἡ τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς οὐδὲ ἀληθὲς ἔχει, τὸ δὲ ἀληθὲς τῷ ὄντι ἐστὶ κάθαρσίς τις τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρεία καὶ αὐτὴ ἡ φρόνησις μὴ καθαρμός τις ᾖ. καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοι εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι ὃς ἂν ἀμύητος ἢ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετάς, 'ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε
196 K. παῦροι', οὗτοι δ' εἰσὶ κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες. εἰ τοίνυν καὶ ἀρετὴν τελείαν
78 A. καὶ κάθαρσιν τῆς ψυχῆς φιλοσοφία μόνη παρέχειν πέφυκε, μόνης αὐτῆς ἀντιλαμβάνεσθαι ἄξιον. εἰς γὰρ θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ ἢ τῷ φιλομαθεῖ. ἀλλὰ τούτων ἕνεκα οἱ ὀρθῶς φιλόσοφοι ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπιθυμιῶν ἁπασῶν καὶ καρτεροῦσι καὶ οὐ παραδιδόασιν αὐταῖς αὐτούς, οὐχὶ οἰκοφθορίαν τε καὶ πενίαν φοβούμενοι, ὥσπερ οἱ πολλοὶ καὶ φιλοχρήματοι· οὐδὲ αὖ ἀτιμίαν τε καὶ ἀδοξίαν μοχθηρίας δεδιότες, ὥσπερ οἱ φίλαρχοί τε καὶ οἱ φιλότιμοι, ἔπειτα ἀπέχονται αὐτῶν. τοιγάρτοι τούτοις μὲν ἅπασιν ἐκεῖνοι οἷς τι μέλει τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ μὴ σώματι πλάτ-

18. p. 70, 9 Plat. Phaedon. p. 82 B—84 B.

23 αὐτούς ‖ 28 σώ$^{\mu\tau}$, quod et σώματα esse potest.

τοντες ζῶσι, χαίρειν εἰπόντες οὐ κατὰ τὰ αὐτὰ πορεύ- 198 K.
ονται αὐτοῖς, ὡς οὐκ εἰδόσιν ὅπῃ ἔρχονται, αὐτοὶ δὲ
ἡγούμενοι οὐ δεῖν ἐναντία τῇ φιλοσοφίᾳ πράττειν καὶ
τῇ ἐκείνης λύσει τε καὶ καθαρμῷ ταύτῃ τρέπονται
ἐκείνῃ ἑπόμενοι, ᾗ ἐκείνη ὑφηγεῖται. γιγνώσκουσι
γὰρ οἱ φιλομαθεῖς ὅτι παραλαβοῦσα αὐτῶν τὴν ψυχὴν
ἡ φιλοσοφία ἀτεχνῶς διαδεδεμένην ἐν τῷ σώματι καὶ
προσκεκολλημένην, ἀναγκαζομένην δὲ ὥσπερ δι' ἑργ-
μοῦ διὰ τούτου σκοπεῖσθαι τὰ ὄντα ἀλλὰ μὴ αὐτὴν 79 A.
δι' αὑτῆς, καὶ ἐν πάσῃ ἀμαθίᾳ κυλινδουμένην, καὶ
τοῦ ἑργμοῦ τὴν δεινότητα κατιδοῦσα ὅτι δι' ἐπιθυμίας
ἐστίν, ὡς ἂν μάλιστα αὐτὸς ὁ δεδεμένος ξυλλήπτωρ
εἴη τῷ δεδέσθαι, — ὅπερ οὖν λέγω, γιγνώσκουσιν
οἱ φιλομαθεῖς ὅτι οὕτω παραλαβοῦσα ἡ φιλοσοφία
ἔχουσαν αὐτῶν τὴν ψυχὴν ἠρέμα παραμυθεῖται καὶ
λύειν ἐπιχειρεῖ, ἐνδεικνυμένη ὅτι ἀπάτης ⟨μὲν⟩ μεστὴ
ἡ διὰ τῶν ὀμμάτων σκέψις, ἀπάτης δὲ ἡ διὰ τῶν
ὤτων καὶ τῶν ἄλλων αἰσθήσεων, πείθουσα δὲ ἐκ
τούτων μὲν ἀναχωρεῖν ὅσον μὴ ἀνάγκη αὐτοῖς χρῆ-
σθαι, αὐτὴν δὲ εἰς αὐτὴν ξυλλέγεσθαι καὶ ἀθροίζεσθαι
παρακελευομένη, πιστεύειν δὲ μηδενὶ ἄλλῳ ἀλλ' ἢ 200 K.
αὐτὴν αὑτῇ, ὅ τι ἂν νοήσῃ αὐτὴ καθ' αὑτὴν αὐτὸ
καθ' αὑτὸ τῶν ὄντων, ὅ τι δ' ἂν δι' ἄλλων σκοπῇ
ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν ἡγεῖσθαι ἀληθές· εἶναι δὲ
τὸ μὲν τοιοῦτον αἰσθητόν τε καὶ ὁρατόν, ὃ δὲ αὐτὴ
ὁρᾷ νοητόν τε καὶ ἀειδές. ταύτῃ οὖν τῇ λύσει οὐκ
οἰομένη δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς φιλο-
σόφου ψυχὴ οὕτως ἀπέχεται τῶν ἡδονῶν τε καὶ ἐπι-

5 ἐκείνῃ utrobique ‖ 8 et 11 εἱργμοῦ P ‖ 16 μὲν ex P addidit K ‖ 20 εἰς αὑτὴν ‖ 22 αὐτῇ] αὑτῇ ‖ 26 ἀειδές PA: ἀηδές.

θυμιῶν καὶ λυπῶν καθόσον δύναται, λογιζομένη ὅτι,
80 A. ἐπειδάν τις σφόδρα ἡσθῇ ἢ λυπηθῇ ἢ φοβηθῇ ἢ ἐπι-
θυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν ἔπαθεν ἀπ' αὐτῶν ὡς
ἄν τις οἰηθείη, οἷον ἢ νοσήσας ἤ τι ἀναλώσας διὰ
τὰς ἐπιθυμίας, ἀλλ' ὃ πάντων μέγιστόν τε κακῶν καὶ
ἔσχατόν ἐστι, τοῦτο πάσχει καὶ οὐ λογίζεται αὐτό,
ὅτι δὴ ψυχὴ παντὸς ἀνθρώπου ἀναγκάζεται ἅμα τε
ἡσθῆναι σφόδρα ἢ λυπηθῆναι ἐπὶ τούτῳ καὶ ἡγεῖσθαι,
περὶ ὃ ἂν πάσχῃ μάλιστα τοῦτο, τοῦτο ἐναργέστατόν
202 K. τε εἶναι καὶ ἀληθέστατον, οὐχ οὕτως ἔχον· ταῦτα δὲ
μάλιστα ὁρατά. οὐκοῦν ἐν τούτῳ τῷ πάθει μάλιστα
καταδεῖται ψυχὴ ὑπὸ σώματος, ἐπεὶ ἑκάστη ἡδονὴ καὶ
λύπη ὥσπερ ἧλον ἔχουσα προσηλοῖ αὐτὴν πρὸς τὸ
σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν
ταῦτα ἀληθῆ εἶναι ἅπερ ἂν καὶ τὸ σῶμα φῇ. ἐκ γὰρ
τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς χαίρειν ἀναγ-
κάζεται, οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος γίγνεσθαι
καὶ οἵα μηδέποτε εἰς Ἅιδου καθαρῶς ἀφικέσθαι, ἀλλ'
ἀεὶ ἀναπλέα τοῦ σώματος ἐξιέναι, ὥστε ταχὺ πάλιν
πίπτειν εἰς ἄλλο σῶμα καὶ ὥσπερ σπειρομένη [μὴ]
81 A. ἐμφύεσθαι, καὶ ἐκ τούτων ἄμοιρος εἶναι τῆς τοῦ θείου
τε καὶ καθαροῦ καὶ μονοειδοῦς συνουσίας. τούτων
τοίνυν ἕνεκα οἱ δικαίως φιλομαθεῖς κόσμιοί εἰσι καὶ
ἀνδρεῖοι, οὐχ ὧν οἱ πολλοὶ ἕνεκά φασιν. ἀλλ' οὕτω
λογίσαιτ' ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου, καὶ οὐκ ἂν
οἰηθείη τὴν μὲν φιλοσοφίαν χρῆναι ἑαυτὴν λύειν,
λυούσης δὲ ἐκείνης αὐτὴν παραδιδόναι ταῖς ἡδοναῖς

1 λυπῶν καὶ φόβων P ‖ 4 ἤ τί ‖ 6 οὐ λογίζεται PK: συλλογίζεται ‖ 8 ἐπί τω P ‖ 10 τοιαῦτα δὲ (non τε) Scaliger ‖ 11 τὰ ὁρατά Heindorf. ‖ 12 ἐπεὶ ἑκάστη ἡδονὴ scripsit K: ἐπὶ ἑκάστῃ ἡδονῇ ‖ 20 μὴ delevit K ‖ 27 αὐτὴν] sic.

καὶ λύπαις ἑαυτὴν πάλιν αὖ ἐγκαταδεῖν καὶ ἀνήνυτον 204 K.
ἔργον πράττειν, Πενελόπης τινὰ ἐναντίως ἱστὸν μετα-
χειριζομένης· ἀλλὰ γαλήνην τούτων παρασκευάζουσα,
ἑπομένη τῷ λογισμῷ καὶ ἀεὶ ἐν τούτῳ οὖσα, τὸ ἀληθὲς
καὶ τὸ θεῖον καὶ τὸ ἀδόξαστον θεωμένη καὶ ὑπ'
ἐκείνου τρεφομένη, ζῆν τε οἴεται οὕτω δεῖν ἕως ἂν ζῇ,
καὶ ἐπειδὰν τελευτήσῃ εἰς τὸ ξυγγενὲς καὶ εἰς τὸ
τοιοῦτον ἀφικομένη ἀπηλλάχθαι τῶν ἀνθρωπίνων
κακῶν. ἐκ δὴ τῆς τοιαύτης ἐφόδου φαίνεται ἡμῖν
φιλοσοφία ἀπαλλαγὴν τῶν ἀνθρωπίνων δεσμῶν παρ-
έχειν καὶ λύσιν τῆς γενέσεως καὶ περιαγωγὴν ἐπὶ τὸ
ὂν καὶ γνῶσιν τῆς ὄντως ἀληθείας καὶ κάθαρσιν ταῖς
ψυχαῖς. εἰ δὲ ἐν τούτῳ μάλιστά ἐστιν ἡ ὄντως εὐδαι-
μονία, σπουδαστέον περὶ αὐτήν, εἴπερ ὄντως βουλό-
μεθα μακάριοι εἶναι.

Ἀλλὰ μὴν καὶ τόδε διανοηθῆναι ἄξιον, ὅτι εἴπερ 82 A.
ἡ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ
χρόνου μόνου τούτου ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ'
ὑπὲρ τοῦ παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν
ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. εἰ μὲν γὰρ
ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν 206 K.
τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλ-
λάχθαι καὶ τῆς αὑτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν
δὲ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη
αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς
βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. οὐδὲν γὰρ
ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τῆς
παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ λέγεται μέγιστα
ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ

16. p. 71, 1 Plat. Phaedon. p. 107 B—D.

τῆς ἐκεῖσε πορείας. ἡ μὲν γὰρ ἀμείνων ψυχὴ μετὰ
θεῶν οἰκεῖ καὶ περιπορεύεται κατ' οὐρανὸν βελτίονός
τε λήξεως τυγχάνει, ἡ δὲ ἀδίκων ἔργων ἁψαμένη καὶ
ἀνοσιουργίας πλησθεῖσα καὶ ἀσεβείας εἰς τὰ ὑπὸ γῆν
δικαιωτήρια ἐλθοῦσα δίκης τῆς προσηκούσης μεταλαγ-
χάνει. ὧν δὴ ἕνεκα χρὴ πᾶν ποιεῖν, ὥστε ἀρετῆς καὶ
φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον
83 A. καὶ ἡ ἐλπὶς μεγάλη. καὶ τούτων δὴ ἕνεκα θαρρεῖν χρὴ
περὶ τῇ ἑαυτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν
ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ τοὺς κόσμους εἴασε
χαίρειν, ὡς ἀλλοτρίους τε ὄντας καὶ πλέον θάτερον
208 K. ἡγησάμενος ἀπεργάζεσθαι, τὰς δὲ περὶ τὸ μανθάνειν
ἐσπούδασέ τε καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ
ἀλλὰ τῷ ἑαυτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ
καὶ ἀνδρείᾳ καὶ ἐλευθερίᾳ καὶ ἀληθείᾳ, οὕτω περι-
μένει τὴν εἰς Ἅιδου πορείαν, ὡς πορευσόμενος ὅταν
ἡ εἱμαρμένη καλῇ. τούτων δὴ οὖν οὕτως ἐχόντων οὐ
χρημάτων δεῖ ἐπιμελεῖσθαι ὅπως ἔσται ὡς πλεῖστα,
οὐδὲ δόξης καὶ τιμῆς, ἀλλὰ φρονήσεως καὶ ἀληθείας
καὶ τῆς ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται. οὐ γὰρ δεῖ
τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖσθαι, τὰ δὲ
φαυλότερα περὶ πλείονος. οὔτε σωμάτων οὖν ἐπι-
μελεῖσθαι οὔτε χρημάτων δεῖ πρότερον, οὐδὲ οὕτως
σφόδρα ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται· οὐ γὰρ
ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα
καὶ τἆλλα ἀγαθὰ τοῖς ἀνθρώποις πάντα καὶ ἰδίᾳ καὶ

3. 5 ἡ δὲ ἀδίκων — μεταλαγχάνει] cf. Plat. Phaedr. p. 249 A ‖ 6. 17 Plat. Phaedon. p. 114 C—115 A ‖ 17. p. 72, 1 cf. Plat. apol. Socr. p. 30 A—B.

17 καλῇ (ex P) Scaliger: καλεῖ.

δημοσίᾳ. ἕν τι οὖν τοῦτο διανοεῖσθαι δεῖ ἀληθές, ὅτι
οὐκ ἔσται ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε
τελευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου 84 A.
πράγματα, ὥστε εἰς ἑαυτὸν διανηρτῆσθαι πάντα τὰ 210 K.
ἀγαθὰ τὰ εἰς εὐδαιμονίαν φέροντα, καὶ ὁ τούτου
ἐγγύτατα παρεσκευασμένος οὗτος ἂν μάλιστα μακαριώ-
τατος διαζήσειεν. τοιαῦται ἔστωσαν καὶ αἱ ἀπὸ τού-
των ἐπὶ τὴν εἰς φιλοσοφίαν προτροπὴν ἔφοδοι.

XIV. Δεῖ δὲ καὶ ἀπὸ τοῦ βίου τῶν κορυ-
φαίων ἐν φιλοσοφίᾳ ἀνδρῶν ἑπομένως ταῖς Πυθα-
γόρου ὑποθήκαις ποιήσασθαι τὴν προτροπήν. οἱ γὰρ
τοιοῦτοί που ἐκ νέων πρῶτον μὲν εἰς ἀγορὰν οὐκ
ἴσασι τὴν ὁδόν, οὐδὲ ὅπου δικαστήριον ἢ βουλευ-
τήριον ἤ τι κοινὸν ἄλλο τῆς πόλεως συνέδριον, νό-
μους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ γεγραμμένα οὔτε
ὁρῶσιν οὔτε ἀκούουσι· σπουδαὶ δὲ ἑταιρειῶν ἐπ' ἀρ-
χὰς καὶ σύνοδοι καὶ δεῖπνα καὶ σὺν αὐλητρίσι κῶμοι,
οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς. εὖ δὲ ἢ κακῶς
τις γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν ἐστιν ἐκ προ-
γόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλλον
αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. 212 K. 85 A.
καὶ ταῦτα πάντα οὐδ' ὅτι οὐκ οἶδεν, οἶδεν· οὐδὲ γὰρ
αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν, ἀλλὰ τῷ ὄντι
τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπι-
δημεῖ, ἡ δὲ διάνοια, ταῦτα πάντα ἡγησαμένη σμικρὰ

1. 4 Plat. apol. Socr. p. 41 C—D ‖ 4 ὥστε εἰς ἑαυτὸν κτλ.] cf. Plat. Menex. p. 247 E (infra p. 91, 26 sqq.) ‖ 11. p. 77, 25 Plat. Theaet. p. 173 C—177 B.

4 δὴ ἀνηρτῆσθαι? ‖ 5 τοῦ (superscr. τ) ‖ 18 sq. εὖ δὲ ἢ κακῶς τίς (superscr. τι) γέγονεν ἐν πόλει ἢ τί τὸ κακόν (superscr. τίς τῶν κακῶν) ἐστιν ἐκ προγόνων γεγονὼς (sic); cf. P.

καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ πέτεται κατὰ Πίνδαρον
τά τε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδα γεωμετροῦσα,
οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν
ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τῶν ἐγγὺς
οὐδὲν ἑαυτὴν συγκαθιεῖσα. ὥσπερ δὴ καὶ Θαλῆν
ἀστρονομοῦντα καὶ ἀναβλέποντα πεσόντα εἰς φρέαρ
Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀπο-
σκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο
εἰδέναι, τὰ δὲ ὄπισθεν αὐτοῦ καὶ παρὰ πόδας λαν-
214 K. θάνοι αὐτόν. ταὐτὸν δὲ ἀρκεῖ σκῶμμα ἐπὶ πάντας
ὅσοι ἐν φιλοσοφίᾳ διάγουσι. τῷ γὰρ ὄντι τὸν τοι-
οῦτον ὁ μὲν πλησίον καὶ ὁ γείτων λέληθεν, οὐ μόνον
ὅ τι πράττει, ἀλλ' ὀλίγου καὶ ⟨εἰ⟩ ἄνθρωπός ἐστιν ἤ
τι ἄλλο θρέμμα· τί δή ποτ' ἐστὶν ἄνθρωπος καὶ τί
τῇ τοιαύτῃ φύσει προσήκει διαφέρον τῶν ἄλλων ἢ
86 A. ποιεῖν ἢ πάσχειν, ζητεῖ τε καὶ πράγματ' ἔχει διερευ-
νώμενος. τοιγάρτοι ἰδίᾳ τε συγγιγνόμενος ὁ τοιοῦτος
ἑκάστῳ καὶ δημοσίᾳ, ὅταν ἐν δικαστηρίῳ ἤ που ἄλλοθι
ἀναγκασθῇ περὶ τῶν παρὰ πόδας καὶ τῶν ἐν ὀφθαλ-
μοῖς διαλέγεσθαι, γέλωτα παρέχει οὐ μόνον Θρᾴτταις
ἀλλὰ καὶ τῷ ἄλλῳ ὄχλῳ, εἰς φρέατά τε καὶ πᾶσαν
ἀπορίαν ἐμπίπτων ὑπὸ ἀπειρίας, καὶ ἡ ἀσχημοσύνη
δεινή, δόξαν ἀβελτηρίας παρεχομένη. ἔν τε γὰρ ταῖς
λοιδορίαις ἴδιον ἔχει οὐδὲν οὐδένα λοιδορεῖν αὐτὸς
οὐκ εἰδὼς κακὸν οὐδὲν οὐδενὸς ἐκ τοῦ μὴ μεμελετη-
κέναι· ἀπορῶν οὖν γελοῖος φαίνεται· ἔν τε τοῖς ἐπαί-
νοις καὶ ταῖς τῶν ἄλλων μεγαλαυχίαις οὐ προσποιήτως,

1 distinctio post οὐδέν est in codice ‖ 3 ὑπεραστρονομοῦσα ‖ 6 ἄνω βλέποντα et 9 ἔμπροσθεν P ‖ 13 εἰ ex P addidit A ‖ 14 δή] δέ PA ‖ ἄνθρωπος cum Cobeto malim ‖ 17 συγγιγνόμενος PA: συγγιγνομένοις ‖ 18 ἑκάστῳ PK: ἕκαστος ‖ 24 αὐτὸς] ἅτ' P ‖ 27 προσποιητῶς.

ἀλλὰ τῷ ὄντι γελῶν ἔνδηλος γιγνόμενος ληρώδης δοκεῖ 216 K.
εἶναι. τύραννόν τε γὰρ ἢ βασιλέα ἐγκωμιαζόμενον
ἕνα τῶν νομέων οἷον συβώτην ἢ ποιμένα ἤ τινα βου-
κόλον ἡγεῖται ἀκούειν εὐδαιμονιζόμενον πολὺ βδάλ-
λοντα γάλα, δυσκολώτερον δὲ ἐκείνων ζῷον καὶ ἐπι-
βουλότερον ποιμαίνειν τε καὶ βδάλλειν νομίζει αὐτούς,
ἀγροῖκον δὲ καὶ ἀπαίδευτον ὑπὸ ἀσχολίας οὐδὲν ἧττον 87 A.
τῶν νομέων τὸν τοιοῦτον ἀναγκαῖον γίγνεσθαι, σηκὸν
ἐν ὄρει τὸ τεῖχος περιβεβλημένον. γῆς δὲ ὅταν μυρία
πλέθρα ἢ ἔτι πλείω ἀκούσῃ ὥς τις ἄρα κεκτημένος
θαυμαστὰ πλήθει κέκτηται, πάνσμικρα δοκεῖ ἀκούειν,
εἰς ἅπασαν εἰωθὼς τὴν γῆν βλέπειν. τὰ δὲ δὴ γένη
ὑμνούντων, ὡς γενναῖός τις ἑπτὰ πάππους πλουσίους
ἔχων ἀποφῆναι, παντάπασιν ἀμβλὺ καὶ ἐπὶ σμικρὸν
ὁρώντων ἡγεῖται τὸν ἔπαινον, ὑπὸ ἀπαιδευσίας οὐ
δυναμένων εἰς τὸ πᾶν ἀεὶ βλέπειν οὐδὲ λογίζεσθαι
ὅτι πάππων καὶ προγόνων μυριάδες ἑκάστῳ γεγόνασιν
ἀναρίθμητοι, ἐν αἷς πλούσιοι καὶ πτωχοὶ καὶ βασιλεῖς 218 K.
καὶ δοῦλοι βάρβαροί τε καὶ Ἕλληνες πολλάκις μυρίοι
γεγόνασιν ὁτῳοῦν, ἀλλ' ἐπὶ πέντε καὶ εἴκοσι κατα-
λόγῳ προγόνων σεμνυνομένων καὶ ἀναφερόντων εἰς
Ἡρακλέα τὸν Ἀμφιτρύωνος ⟨ἄτοπα αὐτῷ καταφαίνεται
τῆς σμικρολογίας, ὅτι δὲ ὁ ἀπ' Ἀμφιτρύωνος⟩ εἰς τὸ
ἄνω ⟨πεντεκαιεικοστὸς⟩ τοιοῦτος ἦν οἵα συνέβαινεν
αὐτῷ τύχη, καὶ ὁ πεντηκοστὸς ἀπ' αὐτοῦ, γελᾷ οὐ
δυναμένων λογίζεσθαί τε καὶ χαυνότητα ἀνοήτου ψυχῆς 88 A.
ἀπαλλάττειν. ἐν ἅπασι δὴ τούτοις ὁ τοιοῦτος ὑπὸ
τῶν πολλῶν καταγελᾶται, τὰ μὲν ὑπερηφάνως ἔχων,

3 συβώτην PK: τῶν συβωτῶν ‖ 11 πλήθει PA: πλήθη ‖ 22 sq. verba ἄτοπα — Ἀμφιτρύωνος et 24 πεντεκαιεικοστὸς ex P addidit A.

ὡς δοκεῖ, τὰ δ' ἐν ποσὶν ἀγνοῶν τε καὶ ἐν ἑκάστοις
ἀπορῶν. ὅταν δέ γέ τινα αὐτὸς ἑλκύσῃ ἄνω, καὶ
ἐθελήσῃ τις αὐτῷ ἐκβῆναι ἐκ τοῦ Τί ἐγὼ σὲ ἀδικῶ
ἢ σὺ ἐμέ; εἰς σκέψιν αὖ τῆς δικαιοσύνης τε καὶ
ἀδικίας, τί τε ἑκάτερον αὐτοῖν καὶ τί τῶν πάντων ἢ
220 K. ἀλλήλων διαφέρετον; ἢ ἐκ τοῦ Εἰ βασιλεὺς εὐδαί-
μων κεκτημένος πολὺ χρυσίον, [ἢ] βασιλείας πέρι
καὶ ἀνθρωπίνης ὅλως εὐδαιμονίας καὶ ἀθλιότητος ἐπί-
σκεψιν, ποίω τέ τινε ἐστὸν καὶ τίνα τρόπον ἀνθρώπου
φύσει προσήκει τὸ μὲν κτήσασθαι αὐτοῖν, τὸ δὲ ἀπο-
φυγεῖν, — περὶ πάντων τούτων ὅταν αὖ δέῃ λόγον
διδόναι τὸν σμικρὸν ἐκεῖνον τὴν ψυχὴν καὶ δριμὺν
καὶ δικανικόν, πάλιν αὖ τὰ ἀντίστροφα ἀποδίδωσιν.
ἰλιγγιῶν τε ἀπὸ ὑψηλοῦ κρεμασθεὶς καὶ βλέπων μετ-
έωρος ἄνωθεν ὑπὸ ἀηθείας ἀδημονῶν τε καὶ ἀπορῶν
89 A. καὶ βαρβαρίζων γέλωτα Θρᾴτταις μὲν οὐ παρέχει οὐδ'
ἄλλῳ ἀπαιδεύτῳ οὐδενί (οὐδὲ γὰρ αἰσθάνονται), τοῖς
δὲ ἐναντίως ἢ ὡς ἀνδραπόδοις τραφεῖσι πᾶσιν. οὗτος
δὴ ἑκατέρου τρόπος τῆς ζωῆς· ὁ μὲν τῷ ὄντι ἐν
ἐλευθερίᾳ τε καὶ σχολῇ τεθραμμένου, ὃν δὴ ⟨δεῖ⟩
222 K. φιλόσοφον καλεῖν, ⟨ᾧ⟩ ἀνεμέσητον εὐήθει δοκεῖν καὶ
οὐδενὶ εἶναι, ὅταν εἰς δουλικὰ ἐμπέσῃ διακονήματα,
οἷον στρωματόδεσμον μὴ ἐπισταμένου συσκευάσασθαι
μηδὲ ὄψον ἡδῦναι ἢ θῶπας λόγους· ὁ δ' αὖ τὰ μὲν
τοιαῦτα πάντα δυναμένου τορῶς θατέρου καὶ ὀξέως
διακονεῖν, ἀναβάλλεσθαι ⟨δὲ⟩ οὐκ ἐπισταμένου ἐπὶ

7 ἢ delevi: an χρυσίον ἤ, βασ.? ‖ 9 τέ τινε PA: γέ τινες ‖ 10 αὐτοῖν PK: αὐτὴν ‖ 13 πάλιν αὖ τὰ AP: πάλιν αὐτὰ ‖ 18 ἐναντίως PK: ἐναντίοις ‖ 20 ὃν δεῖ ex apogr. Ciz. K: an καλεῖς cum P? ‖ 21 ᾧ ex P addidit A ‖ 23 ἐπισταμένου ex P scripsi: ἐπισταμένους ‖ 25 θατέρου] τε PA ‖ 26 δὲ ex P addidit K.

δεξιὰ ἐλευθέρως οὐδὲ ἁρμονίαν λόγων λαβόντος ὀρθῶς ὑμνῆσαι θεῶν τε καὶ ἀνδρῶν εὐδαιμόνων βίον ἀληθῆ. οἶμαι δὴ οὖν, εἰ πείθοιντο οἱ ἄνθρωποι τούτοις, πλείονα ἂν εἰρήνην καὶ κακὰ ἐλάττω κατ' αὐτοὺς ἔσεσθαι. τὰ μὲν οὖν κακὰ οὔτ' ἀπολέσθαι δυνατόν (ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη), οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. διὸ καὶ πειρᾶσθαι 90 A. χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅ τι τάχιστα. φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. ἀλλὰ γὰρ οὐ πάνυ ῥᾴδιον πεῖσαι, ὡς ἄρα οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον τὸ δ' οὔ, ἵνα δὴ 224 K. μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι. ταῦτα μὲν γάρ ἐστιν ὁ λεγόμενος γραῶν ὕθλος, ὡς ἐμοὶ φαίνεται· τὸ δὲ ἀληθὲς ὧδε λέγομεν. θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅ τι δικαιότατος. περὶ τοῦτο καὶ ἡ ὡς ἀληθῶς δεινότης ἀνδρὸς καὶ ἡ οὐδένειά τε καὶ ἀνανδρία. ἡ μὲν γὰρ τούτου γνῶσις σοφία καὶ ἀρετὴ ἀληθινή, ἡ δὲ ἄγνοια ἀμαθία καὶ κακία ἐναργής· αἱ δὲ ἄλλαι δεινότητές τε δοκοῦσαι καὶ σοφίαι ἐν μὲν πολιτικαῖς δυναστείαις γιγνόμεναι φορτικαί, ἐν δὲ τέχναις βάναυσοι. τῷ οὖν ἀδικοῦντι καὶ ἀνόσια λέγοντι ἢ πράττοντι μακρῷ ἄριστ' 91 A. ἔχει τι τὸ μὴ συγχωρεῖν δεινῷ ὑπὸ πανουργίας εἶναι· ἀγάλλονται γὰρ τῷ ὀνείδει καὶ οἴονται ἀκούειν ὅτι οὐ λῆροί εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλὰ ἄνδρες οἵους δεῖ ἐν

21 ἀνανδρία PA: ἀνδρεία ‖ 24 δοκοῦσαι PA: δοκοῦσι.

πόλει τοὺς σωθησομένους. λεκτέον οὖν τὸ ἀληθές, ὅτι τοσούτῳ μᾶλλόν εἰσιν οἷοι οὐκ οἴονται, ὅτι οὐχὶ οἴονται· ἀγνοοῦσι γὰρ ζημίαν ἀδικίας, ὃ δεῖ ἥκιστα 226 K. ἀγνοεῖν. οὐ γάρ ἐστιν ἣν δοκοῦσι, πληγαί τε καὶ θάνατοι, ὧν ἐνίοτε πάσχουσιν οὐδὲν ἀδικοῦντες, ἀλλὰ ἣν ἀδύνατον ἐκφυγεῖν. παραδειγμάτων γὰρ ἐν τῷ ὄντι ἑστώτων, τοῦ μὲν θείου εὐδαιμονεστάτου, τοῦ δὲ ⟨ἀθέου⟩ ἀθλιωτάτου, οὐχ ὁρῶντες ὅτι οὕτως ἔχει, ὑπὸ ἠλιθιότητός τε καὶ τῆς ἐσχάτης ἀνοίας λανθάνουσι τῷ μὲν ὁμοιούμενοι διὰ τὰς ἀδίκους πράξεις, τῷ δὲ ἀνομοιούμενοι. οὗ δὴ τίνουσι δίκην ζῶντες τὸν εἰκότα βίον ᾧ ὡμοιοῦντο. ἐὰν δὲ εἴπωμεν ὅτι, ἐὰν μὴ ἀπαλλαγῶσι τῆς δεινότητος, καὶ τελευτήσαντας αὐτοὺς 92 A. ἐκεῖνος μὲν ὁ τῶν κακῶν καθαρὸς τόπος οὐ δέξεται, ἐνθάδε δὲ τὴν αὐτοῖς ὁμοιότητα τῆς διαγωγῆς ἀεὶ ἕξουσι, κακοὶ κακοῖς ξυνόντες, ταῦτα δὴ καὶ παντάπασιν ὡς δεινοὶ καὶ πανοῦργοι ἀνοήτων τινῶν ἀκούσονται, καὶ μάλα δὴ ὑπέρογκον φρονοῦντες. ἓν μέντοι τι αὐτοῖς συμβέβηκεν, ὅταν ἰδίᾳ λόγον δέῃ δοῦναί τε καὶ δέξασθαι περὶ ὧν ψέγουσι, καὶ ἐθελήσωσιν ἀνδρικῶς πολὺν χρόνον ὑπομεῖναι καὶ μὴ ἀνάνδρως φεύγειν, τότε ἀτόπως τελευτῶντες οὐκ ἀρέσκουσιν 228 K. αὐτοὶ αὑτοῖς περὶ ὧν λέγουσι, καὶ ἡ ῥητορικὴ ἐκείνη πως ἀπομαραίνεται, ὥστε παίδων δοκεῖν μηδὲν διαφέρειν. εἰ δὴ ταῦτα οὕτως ἔχει, καὶ ὁ βίος θειότερός τε εἶναι καὶ εὐδαιμονέστερος φαίνεται τῶν ἐν φιλοσοφίᾳ διαγόντων, οὐδὲν ἄλλο χρὴ πράττειν ἢ φιλοσοφίας ἀντιλαμβάνεσθαι γενναίως.

8 ἀθέου ex P addidit A ‖ 11 τίνουσι PA: τείνουσι ‖ 15 αὐτοῖς ‖ 19 ὅταν] ὅτι ἂν PA, at cf. Schanzii adn. crit. ad Theaet. p. 177 B ‖ 20 ἐθελήσωσιν PA: ἐθελήσουσιν ‖ 24 πῶς.

XV. *Μετὰ ταῦτα δὴ ἀπεικάσαι δεῖ τοιούτῳ πάθει τὴν ἡμετέραν φύσιν παιδείας τε πέρι καὶ ἀπαιδευσίας. ἰδὲ γὰρ ἀνθρώπους οἷον ἐν καταγείῳ οἰκήσει σπηλαιώδει,* 93 A. *ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν εἴσοδον ἐχούσῃ μακρὰν παρὰ πᾶν τὸ σπήλαιον, ἐν ταύτῃ ἐκ παίδων ὄντας ἐν δεσμοῖς καὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, ὥστε μένειν τε αὐτοὺς εἴς τε τὸ πρόσθεν μόνον ὁρᾶν, κύκλῳ δὲ τὰς κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους περιάγειν, φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόρρωθεν καόμενον ὄπισθεν αὐτῶν, μεταξὺ δὲ τοῦ πυρὸς καὶ τῶν δεσμωτῶν ἐπάνω ὁδόν, παρ᾽ ἣν εἶναι τειχίον ᾠκοδομημένον, ὥσπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων πρόκειται* 230 K. *τὰ παραφράγματα, ὑπὲρ ὧν τὰ θαύματα δεικνύουσιν. ἔτι τοίνυν ὅρα παρὰ τοῦτο τὸ τειχίον φέροντας ἀνθρώπους σκεύη τε παντοδαπὰ ὑπερέχοντα τοῦ τειχίου καὶ ἀνδριάντας καὶ ἄλλα ζῷα λίθινά τε καὶ ξύλινα καὶ παντοῖα εἰργασμένα, οἷον εἰκός, τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας τῶν παραφερόντων. τὴν δὴ ἄτοπον εἰκόνα ταύτην καὶ τοὺς δεσμώτας τοὺς ἀτόπους θὲς εἶναι ὁμοίους ἡμῖν. τοὺς γὰρ τοιούτους πρῶτον μὲν ἑαυτῶν τε καὶ ἀλλήλων οἴει ἄν τι ἑωρακέναι ἄλλο πλὴν τὰς σκιὰς τὰς ὑπὸ τοῦ πυρὸς εἰς τὸ κατ᾽ ἀντικρὺ αὐτῶν τοῦ σπηλαίου προσπιπτούσας; οὐδὲν ἄλλο. πῶς γάρ, εἰ ἀκινήτους γε τὰς κεφαλὰς ἔχειν ἠναγκασμένοι εἶεν διὰ βίου; τί δὲ τῶν παραφερομένων;* 94 A. *οὐ ταὐτὸν τοῦτο; τί μήν; εἰ οὖν διαλέγεσθαι οἷοί τ᾽ εἶεν πρὸς ἀλλήλους, οὐ ταῦτα ἡγῇ*

1. p. 82, 4 Plat. Civit. VII p. 514 A—517 C.

3 *ἴδε* ‖ 26 *τοῦτο; τί μήν;* Cobet ex P: *τοῦτοι μήν.*

ἂν τὰ ὄντα αὐτοὺς ὀνομάζειν, ἅπερ ὁρῷεν; ἀνάγκη. 232 K. *τί δ᾽; εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ κατ᾽ ἀντικρὺ ἔχοι, ὁπότε τις τῶν παριόντων φθέγξαιτο, οἴει ἂν ἄλλο τι αὐτοὺς ἡγεῖσθαι τὸ φθεγγόμενον ἢ τὴν παριοῦσαν σκιάν; οὐδὲν ἄλλο. παντάπασι δὴ οὖν οἱ τοιοῦτοι οὐκ ἂν ἄλλο τι νομίζοιεν τὸ ἀληθὲς ἢ τὰς τῶν σκευαστῶν σκιάς. πολλὴ ἀνάγκη. σκόπει οὖν αὐτῶν λύσιν τε καὶ ἴασιν τῶν τε δεσμῶν καὶ τῆς ἀφροσύνης, οἵα τις ἂν εἴη, εἰ φύσει τοιάδε ξυμβαίνοι αὐτοῖς· ὁπότε τις λυθείη καὶ ἀναγκάζοιτο ἐξαίφνης ἀνίστασθαί τε καὶ περιάγειν τὸν αὐχένα καὶ βαδίζειν καὶ πρὸς τὸ φῶς ἀναβλέπειν, πάντα δὲ ταῦτα ποιῶν ἀλγοῖ τε καὶ διὰ τὰς μαρμαρυγὰς ἀδυνατοῖ καθορᾶν ἐκεῖνα ὧν τότε τὰς σκιὰς ἑώρα, τί ἂν οἴει αὐτὸν εἰπεῖν, εἴ τις αὐτῷ λέγοι ὅτι τότε μὲν ἑώρα φλυαρίας, νῦν δὲ μᾶλλόν τι ἐγγυτέρω τοῦ ὄντος καὶ πρὸς μᾶλλον ὄντα τετραμ-* 95 A. *μένος ὀρθότερον βλέποι, καὶ δὴ καὶ ἕκαστον τῶν παριόντων δεικνὺς αὐτῷ ἀναγκάζοι ἐρωτῶν ἀποκρίνασθαι ὅ τι ἐστίν; οὐκ οἴει αὐτὸν ἀπορεῖν τε ἂν καὶ ἡγεῖσθαι τὰ τότε ὁρώμενα ἀληθέστερα ἢ τὰ νῦν δεικνύμενα; πάντως δήπου. οὐκοῦν κἂν εἰ πρὸς αὐτὸ τὸ φῶς ἀναγκάζοι αὐτὸν βλέπειν, ἀλγεῖν τε ἂν τὰ ὄμματα καὶ φεύγειν ἀποστρεφόμενον πρὸς ἐκεῖνα ἃ* 234 K. *δύναται καθορᾶν, καὶ νομίζειν ταῦτα τῷ ὄντι σαφέστερα τῶν δεικνυμένων; εἰ δὲ ἐντεῦθεν ἕλκοι τις αὐτὸν βίᾳ διὰ τραχείας τῆς ἀναβάσεως καὶ ἀνάντους, καὶ μὴ ἀνείη πρὶν ἐξελκύσειεν εἰς τὸ τοῦ ἡλίου φῶς, ὀδυνᾶσθαί τε ἂν καὶ ἀγανακτεῖν ἑλκόμενον; καὶ*

8 *οἷα* ‖ 9 *εἰ* PA: *ἡ* ‖ 14 *οἴη* ‖ 15 *αὐτῷ* PA: *αὐτὸ* ‖ 20 *τὰ τότε* PA: *τά τε* ‖ 27 *ἂν εἴη* ‖ 28 ⟨*ἆρα οὐχὶ*⟩ *ὀδυνᾶσθαι* A ex P.

ἐπειδὴ πρὸς τὸ φῶς ἔλθοι, αὐγῆς ἂν ἔχοντα τὰ ὄμ-
ματα μεστὰ ὁρᾶν οὐδ' ἂν ἓν δύνασθαι τῶν ⟨νῦν⟩
λεγομένων ἀληθῶν, ὥστε ἐξαίφνης αὐτοῖς προσβάλ-
λοντας; συνηθείας δή, οἶμαι, δέοιτ' ἄν, εἰ μέλλοι τὰ
ἄνω ὄψεσθαι· καὶ πρῶτον μὲν τὰς σκιὰς ἂν ῥᾷστα
καθορῴη, καὶ μετὰ τοῦτο ἐν τοῖς ὕδασι τά τε τῶν
ἀνθρώπων καὶ τὰ τῶν ἄλλων εἴδωλα, ὕστερον δὲ
αὐτά· ἐκ δὲ τούτων τὰ ἐν τῷ οὐρανῷ καὶ αὐτὸν τὸν
οὐρανὸν νύκτωρ ἂν ῥᾷον θεάσαιτο, προσβλέπων τὸ
τῶν ἄστρων τε καὶ σελήνης φῶς, ἢ μεθ' ἡμέραν τὸν
ἥλιόν τε καὶ τὸ τοῦ ἡλίου. τελευταῖον δή, οἶμαι, τὸν
ἥλιον οὐκ ἐν ὕδασιν οὐδ' ἐν ἀλλοτρίᾳ ἕδρᾳ φαντάσ- 96 A.
ματα αὐτοῦ, ἀλλ' αὐτὸν καθ' αὑτὸν ἐν τῇ αὑτοῦ χώρᾳ
δύναιτ' ἂν κατιδεῖν καὶ θεάσασθαι οἷός τέ ἐστι. καὶ 236 K.
μετὰ ταῦτ' ἂν ἤδη συλλογίζοιτο περὶ αὐτοῦ, ὅτι οὗτος
ὁ τάς τε ὥρας παρέχων καὶ ἐνιαυτοὺς καὶ πάντα ἐπι-
τροπεύων τὰ ἐν τῷ ὁρωμένῳ τόπῳ, καὶ ἐκείνων ὧν
σφεῖς ἑώρων τρόπον τινὰ πάντων αἴτιος. δῆλον γὰρ
ὅτι ἐπὶ ταῦτα ἂν μετ' ἐκεῖνα ἔλθοι. τί οὖν; ἀνα-
μιμνῃσκόμενον αὐτὸν τῆς πρώτης οἰκήσεως καὶ τῆς
ἐκεῖ σοφίας καὶ τῶν τότε ξυνδεσμωτῶν οὐκ ἂν οἴει
αὑτὸν μὲν εὐδαιμονίζειν τῆς μεταβολῆς, τοὺς δὲ ἐλεεῖν;
καὶ μάλα. τιμαὶ δὲ καὶ ἔπαινοι εἴ τινες ἦσαν αὐτοῖς
τότε παρ' ἀλλήλων καὶ γέρα τῷ ὀξύτατα καθορῶντι
τὰ παριόντα, καὶ μνημονεύοντι μάλιστα ὅσα τε πρό-
τερα αὐτῶν καὶ ὕστερα εἴωθε καὶ ἅμα πορεύεσθαι, καὶ
ἐκ τούτων δὴ δυνατώτατα ἀπομαντευομένῳ τὸ μέλλον
ἥξειν, δοκεῖς ἂν αὐτὸν ἐπιθυμητικῶς αὐτῶν ἔχειν καὶ

2 νῦν add. A ex P ‖ 3 ὡς et προσβάλλοντα malit K ‖ 10 σελήνης PA: σεληνῶν ‖ 13 ἀλλ' αὐτὸν ‖ 21 οἴῃ ‖ 22 αὐτὸν ‖ 24 παρ' PA: περὶ ‖ 28 δοκεῖς PA: δοκῇς.

ζηλοῦν τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ ἐνδυνα-
στεύοντας, ἢ τὸ τοῦ Ὁμήρου ἂν πεπονθέναι καὶ σφόδρα
βούλεσθαι ἐπάρουρον ἐόντα θητευέμεν ἄλλῳ ἀν-
97 A. δρὶ παρ' ἀκλήρῳ καὶ ὁτιοῦν ἂν πεπονθέναι μᾶλλον ἢ
ἐκεῖνά τε δοξάζειν καὶ ἐκείνως ζῆν; οὕτως ἔγωγε οἶμαι,
238 K. πᾶν μᾶλλον πεπονθέναι ἂν δέξασθαι ἢ ζῆν ἐκείνως.
καὶ τόδε δὴ ἐννόησον· εἰ πάλιν ὁ τοιοῦτος καταβὰς εἰς
τὸν αὐτὸν θᾶκον καθίζοιτο, ἆρ' οὐ σκότους ἀνάπλεως
σχοίη τοὺς ὀφθαλμούς, ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου;
μάλα γε. τὰς δὲ δὴ σκιὰς ἐκείνας πάλιν εἰ δέοι αὐτὸν
γνωματεύοντα διαμιλλᾶσθαι τοῖς ἀεὶ δεσμώταις ἐκεί-
νοις, ἐν ᾧ ἀμβλυωπεῖ, πρὶν καταστῆναι τὰ ὄμματα,
οὗτος δὲ ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς συνηθείας,
ἆρα οὐ γέλωτ' ἂν παρέχοι, καὶ λέγοιτο ἂν περὶ αὐτοῦ,
ὡς ἀναβὰς ἄνω διεφθαρμένος ἥκει τὰ ὄμματα, καὶ ὅτι
οὐκ ἄξιον οὐδὲ πειρᾶσθαι ἀνιέναι, καὶ τὸν ἐπιχει-
ροῦντα λύειν τε καὶ ἀνάγειν, εἴ πως ἐν ταῖς χερσὶ
δύναιντο λαβεῖν καὶ ἀποκτείνειν, ἀποκτιννύναι ἄν;
σφόδρα γε. ταύτην τοίνυν τὴν εἰκόνα προσαπτέον
ἅπασαν ὡς ἀληθῶς τοῖς λεγομένοις, τὴν μὲν δι' ὄψεως
φαινομένην ἕδραν τῇ τοῦ δεσμωτηρίου οἰκήσει ἀφο-
μοιοῦντα, τὸ δὲ τοῦ πυρὸς ἐν αὐτῇ φῶς τῇ τοῦ ἡλίου
98 A. δυνάμει· τὴν δὲ ἄνω ἀνάβασιν καὶ θέαν τῶν ἄνω τὴν
240 K. εἰς τὸν νοητὸν τόπον τῆς ψυχῆς ἄνοδον τιθεὶς οὐχ
ἁμαρτήσει τῆς ἀληθείας. αὕτη δέ που οὕτω φαίνεται
ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις
ὁρᾶσθαι, ὀφθεῖσα δὲ συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι
πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία, ἔν τε ὁρατῷ

3 ἐπ' ἄρουρον ‖ 21 ἕδραν ‖ 25 ἁμαρτή^{σ} ‖ 26 τελευταία ita scriptum ut proclivi errore legas τελευταίως.

φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία ἀλήθειαν καὶ νοῦν παρεχομένη, καὶ ὅτι δεῖ ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρόνως πράξειν ἢ ἰδίᾳ ἢ δημοσίᾳ. εἰ δὴ τοῦτο ἔργον ἐστὶ τῆς παιδείας, καὶ τοσοῦτον πρόκειται τὸ διάφορον αὐτῆς πρὸς τὴν ἀπαιδευσίαν, τί ἂν ἄλλο ἁρμόζοι ἢ παιδείας ἀντιλαμβάνεσθαι καὶ φιλοσοφίας, τῶν δὲ νῦν δοκούντων εἶναι περισπουδάστων τοῖς πολλοῖς ἀφίεσθαι ὡς οὐδεμίαν ἐχόντων εἰς εὐδαιμονίαν ῥοπὴν ἀξιόλογον;

XVI. Ἔτι τοίνυν, εἰ ταῦτα ἀληθῆ, δεῖ νοῆσαι περὶ αὐτῶν τοιόνδε τι, τὴν παιδείαν οὐχ οἷόν τινες ἐπαγγελλόμενοί 242 K. φασιν εἶναι, τοιαύτην καὶ εἶναι. φασὶ δέ που οὐκ ἐνούσης ἐν τῇ ψυχῇ ἐπιστήμης ἐντιθέναι, οἷον 99 A. τυφλοῖς ὀφθαλμοῖς ὄψιν ἐντιθέντες. ὁ δέ γε νῦν λόγος σημαίνει ταύτην τὴν ἐνοῦσαν ἑκάστῳ δύναμιν ἐν τῇ ψυχῇ καὶ τὸ ὄργανον ᾧ καταμανθάνει ἕκαστος, οἷον εἰ ὄμμα μὴ δυνατὸν ἦν ἄλλως ἢ ξὺν ὅλῳ τῷ σώματι στρέφειν πρὸς τὸ φανὸν ἐκ τοῦ σκοτώδους, οὕτως ξὺν ὅλῃ τῇ ψυχῇ ἐκ τοῦ γιγνομένου περιακτέον εἶναι, ἕως ἂν εἰς τὸ ὂν καὶ τοῦ ὄντος τὸ φανότατον δυνατὴ γένηται ἀνασχέσθαι θεωμένη· τοῦτο δ' εἶναί φαμεν τἀγαθόν. τούτου τοίνυν αὐτοῦ τέχνη ἂν εἴη, τῆς περιαγωγῆς, τίνα τρόπον ὡς ῥᾷστά τε καὶ ἀνυσιμώτατα μεταστραφήσεται, οὐ τοῦ ἐμποιῆσαι αὐτῷ ⟨τὸ⟩ ὁρᾶν, ἀλλ' ὡς ἔχοντι μὲν αὐτό, οὐκ ὀρθῶς δὲ τετραμμένῳ οὐδὲ βλέποντι οἷ ἔδει, τοῦτο δεῖ μηχανήσασθαι. αἱ μὲν τοίνυν ἄλλαι ἀρεταὶ καλούμεναι ψυχῆς κινδυνεύουσιν ἐγγύς τι εἶναι τῶν τοῦ σώματος (τῷ ὄντι 244 K. γὰρ οὐκ ἐνοῦσαι πρότερον ὕστερον ἐμποιεῖσθαι ἔθεσι καὶ ἀσκήσεσιν), ἡ δὲ τοῦ φρονῆσαι παντὸς μᾶλλον θειοτέρου τινὸς τυγχάνει, ὡς ἔοικεν, οὖσα, ὃ τὴν μὲν δύναμιν οὐδέποτε ἀπόλλυσιν, ὑπὸ δὲ τῆς περιαγωγῆς χρήσιμόν τε καὶ ὠφέλιμον καὶ ἄχρηστον αὖ καὶ βλα- 100 A. βερὸν γίγνεται. ἢ οὔπω ἐννενόηκας τῶν λεγομένων μὲν πονηρῶν, σοφῶν δέ, ὡς δριμὺ μὲν βλέπει τὸ ψυχάριον καὶ ὀξέως διορᾷ ταῦτα ἐφ' ἃ τέτραπται, ὡς οὐ φαύλην ἔχον τὴν ὄψιν, κακίᾳ δὲ ἠναγκασμένον ὑπηρετεῖν, ὥστε ὅσῳ ἂν ὀξύτερον βλέπῃ, τοσούτῳ πλείω κακὰ ἐργαζόμενον; τοῦτο μέντοι τὸ τῆς τοιαύτης φύσεως εἰ ἐκ παιδὸς εὐθὺς κοπτόμενον περιεκόπη τὰς τῆς γενέσεως ξυγγενεῖς ὥσπερ μολυβδίδας, αἳ δὴ ἐδωδαῖς τε καὶ τοιούτων ἡδοναῖς τε καὶ λιχνείαις προσφυεῖς γιγνόμεναι περὶ τὰ κάτω στρέφουσι τὴν τῆς ψυχῆς ὄψιν, ὧν εἰ ἀπαλλαγὲν περιεστρέφετο εἰς τὰ ἀληθῆ, καὶ ἐκεῖνα ἂν τὸ αὐτὸ τοῦτο τῶν αὐτῶν ἀνθρώπων ὀξύτα⟨τα ἑώρα, ὥσ⟩περ καὶ ἐφ' ἃ νῦν τέτραπται.

Νῦν δὴ οὖν, ὁπότε ἐνταῦθα γεγόναμεν, καὶ τὸ 246 K. τῆς φιλοσοφίας ἔργον ὁποῖόν ἐστι φαίνεται, καὶ ὡς ἔστι τίμιον αὐτόθεν ἐστὶ κατάδηλον. τὸ γὰρ περιαιρεῖν τὴν γένεσιν ἀπὸ τῆς ψυχῆς καὶ ἐκκαθαίρειν τὴν λογίζεσθαι δυναμένην αὐτῆς ἐνέργειαν μάλιστα αὐτῇ προσήκει. οὗτος οὖν ἄριστος τρόπος τοῦ βίου, τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι. τούτῳ οὖν ἑπώμεθα, εἰ βουλοίμεθα ὄντως εὐδαιμονήσειν.

10. p. 83, 19 Plat. Civit. VII p. 518 B—519 B.

8 ἀφίεσθαι (ἀφεῖσθαι Scaliger) Cobet: ἀφιεῖσθαι ‖ 11 immo οἵαν cum P ‖ 12 φησὶ compend. ‖ 16 ᾧ PA: ὃ ‖ 24 τὸ ex P addidit A.

25. 27 οὗτος — ἑπώμεθα] Plat. Gorg. p. 527 E.

7 ἤ ‖ 19 inter ὀξῦτα (sic) et περ lacuna fere XX litter.: explevit A ex P ‖ 27 ἑπώμεθα ex apogr. Ciz. K: ἑπόμεθα.

XVII. *Εἰ δὲ δεῖ καὶ ἀπὸ τῶν παλαιῶν λόγων καὶ* 101 A.
τῶν μύθων τῶν ἱερῶν τῶν τε ἄλλων καὶ τῶν Πυθα-
γορείων ὑπομνῆσαι τοὺς ἀκούοντας ἐπὶ τὴν αὐτὴν
παράκλησιν, ἀρχώμεθα καὶ τούτου ἐντεῦθεν. ὀρθῶς
λέγονται οἱ μηδενὸς δεόμενοι εὐδαίμονες εἶναι, καὶ
ὡς τῶν ἀπεράντους ἐχόντων τὰς ἐπιθυμίας δεινὸς ὁ
βίος. οὐ γάρ τι θαυμάζοιμ᾽ ἄν, εἰ Εὐριπίδης ἀληθῆ
ἐν τοῖσδε λέγει, λέγων τίς δ᾽ οἶδεν, εἰ τὸ ζῆν
μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν; καὶ
ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν· ἤδη γάρ του ἔγωγε καὶ
ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν, καὶ τὸ
μὲν σῶμά ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ
ἐπιθυμίαι εἰσί, τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ 248 K.
μεταπίπτειν ἄνω κάτω, καὶ τοῦτο ἄρα τις μυθολογῶν
κομψὸς ἀνήρ, ἴσως Σικελικός τις ἢ Ἰταλικός τις,
παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πιστικὸν
ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους ἀμυήτους· τῶν δὲ
ἀνοήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσί, τὸ
ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανόν, ὡς τετρημένος εἴη 102 A.
πίθος διὰ τὴν ἀπληστίαν ἀπεικάσας. τοὐναντίον δὴ
οὗτος τοῖς πολλοῖς ἀνθρώποις ἐνδείκνυται, ὡς τῶν ἐν
Ἅιδου, τὸ ἀειδὲς δὴ λέγων, οὗτοι ἀθλιώτατοί εἰσιν
οἱ ἀμύητοι, καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον
ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ. τὸ δὲ κόσκι-
νον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν
εἶναι· τὴν δὲ ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοή-
των ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν δι᾽ ἀπι-

4. p. 85, 26 Plat. Gorg. p. 492 E—494 B.

13 *ὂν οἷον* PA: *ὅμοιον* ‖ 15 *ἴσως* PA: *ἶσος* ‖ 16 *πιστικὸν*] sic ‖ 22 *ἀηδὲς* ‖ *εἰσιν*] immo *εἶεν* (cf. Cobet, Mnemos.[2] II 138. Stob. Flor. 121, 36).

στίαν τε καὶ λήθην. ταῦτα ἐπιεικῶς μέν ἐστιν ὑπό τι
ἄτοπα, δηλοῖ μὴν ὃ ἐγὼ βούλομαι ἐνδείξασθαι, ὡς χρὴ
250 K. *μεταθέσθαι ἀπὸ τοῦ ἀπλήστως καὶ ἀκολάστως ἔχοντος*
βίου ἐπὶ τὸν κοσμίως καὶ τοῖς ἀεὶ παροῦσιν ἱκανῶς
καὶ ἐξαρκούντως ἔχοντα βίον, καὶ πείθεσθαι εὐδαιμο-
νεστέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων. φέρε
δὴ οὖν καὶ ἄλλην εἰκόνα εἴπω ἐκ τοῦ αὐτοῦ γυμνασίου
τὴν νῦν. σκόπει γὰρ εἰ τοιόνδε δοκεῖ περὶ τοῦ βίου
ἑκατέρου, τοῦ τε σώφρονος καὶ τοῦ ἀκολάστου, οἷον εἰ
δυοῖν ἀνδροῖν ἑκατέρῳ πίθοι πολλοὶ εἶεν, καὶ τῷ μὲν
ἑτέρῳ ὑγιεῖς καὶ πλήρεις, ὁ μὲν οἴνου ὁ δὲ μέλιτος
103 A. *ὁ δὲ γάλακτος καὶ ἄλλοι πολλοὶ πολλῶν, νάματα δὲ*
σπάνια καὶ χαλεπὰ ἑκάστου τούτων εἴη καὶ μετὰ πολ-
λῶν πόνων καὶ χαλεπῶν ἐκποριζόμενα· ὁ μὲν οὖν
ἕτερος πληρωσάμενος μήτε ἐποχετεύοι μηδέ τι φρον-
τίζοι, ἀλλ᾽ ἕνεκα τούτων ἡσυχίαν ἔχοι· τῷ δ᾽ ἑτέρῳ
τὰ μὲν νάματα, ὥσπερ καὶ ἐκείνῳ, δυνατὰ μὲν πορί-
ζεσθαι εἴη, χαλεπὰ δέ, τὰ δὲ ἀγγεῖα τετρημένα καὶ
σαθρά, ἀναγκάζοιτο δὲ ἀεὶ καὶ νύκτα καὶ ἡμέραν πιμ-
πλάναι αὐτά, ἢ τὰς ἐσχάτας λυποῖτο λύπας· ἆρα τοιού-
του ὄντος τοῦ βίου, οὐκ ἔσται εὐδαιμονέστερος ὁ τοῦ
252 K. *κοσμίου ἢ τοῦ ἀκολάστου; ὁ μὲν γὰρ τῷ ὡς πλεῖστον*
ἐπιρρεῖν ἔχει τὸ εὔδαιμον, ἐν ᾧ πολὺ ἀνάγκη καὶ τὸ
ἀπιὸν εἶναι καὶ μεγάλα ἄττα τὰ τρήματα εἶναι ταῖς
ἐκροαῖς, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ χαραδριοῦ τινα βίον
διαζῆν· ὁ δὲ πεπληρωμένος εἰσάπαξ τῶν οἰκείων ἀγα-
θῶν αὐτάρκης ἀεὶ διαμένει πάντα τὸν χρόνον. τοιαύτη
τίς ἐστι καὶ ἡ ἀρχαιοπρεπὴς παράκλησις ἐπὶ τὴν τῆς
ἀρετῆς ἐπιτήδευσιν.

8 *τῇ νῦν* P ‖ 15 *μηδέ*] *μήτε* P ‖ 21 ante *ὄντος* addit *ἑκα-τέρου* P ‖ 24 *ἀπιὸν* PA: *ἄβιον*.

XVIII. *Ταύτῃ δ' ἐστὶ συγγενὴς καὶ ἄλλη ἔφοδος* 104 A.
ἡ κατ' ἀναλογίαν ἀπὸ τῶν ἐν τῷ σώματι φαινομένων
ἐναργῶν ἐπὶ τὰ τῆς ψυχῆς μεταβαίνουσα κακά τε καὶ
ἀγαθά, καὶ τῶν μὲν κακῶν χωρίζουσα καὶ πρὸς τὰ
αἰσχρὰ ἀλλοτριοῦσα τὴν προαίρεσιν ἡμῶν, τῶν δὲ
ἀγαθῶν ἀντιλαμβάνεσθαι παντὶ σθένει παρακελευο-
μένη, καὶ πρὸς τὰ καλὰ οἰκειοῦσα ἡμῶν τὴν διάνοιαν
ἐξ ἅπαντος τρόπου. οἷον εἰ τὰ πάθη τοῦ σώματος
φευκτὰ καὶ τὰ νοσήματα, πολὺ δήπου πρότερον τὰ
τῆς ψυχῆς, καὶ εἰ ἡ νόσος τοῦ σώματος οὐ βιωτὸν
ἡμῖν τὸν βίοτον ἀπεργάζεται, πολὺ δήπου πρότερον
ἡ ἀδικία νόσος οὖσα τῆς ψυχῆς ἀφόρητόν ἐστι τῷ 254 K.
ἔχοντι, καὶ εἰ τὸ σῶμα ἀσυμμέτρως διακείμενον ἀπόλ-
λυσιν ἡμῶν τὴν τελειότητα τῆς ψυχῆς, ὅταν ἐκεῖνο,
ᾧ ζῶμεν, πλημμελῶς ἔχῃ καὶ στασιάζῃ πρὸς ἑαυτό,
οὐκ ἔνεστιν ὀρθῶς διαβιῶναι. μετίωμεν δὴ καὶ ἐπὶ
θάτερα κατὰ τὸν αὐτὸν τρόπον. ὥσπερ γὰρ τάξεως
καὶ κόσμου τὰ ἡμέτερα σώματα τυχόντα χρηστὰ ἂν
εἴη, ἀταξίας δὲ μοχθηρά, οὕτως καὶ ἡ ψυχὴ ἀταξίας
μὲν τυχοῦσα ἔσται πονηρά, χρηστὴ δὲ ἡ τάξεώς τινος
καὶ κόσμου ἐπιλαβοῦσα. ἐπὶ μὲν οὖν τῷ σώματι ὄνομά
ἐστι τῷ ἐκ τῆς τάξεώς τε καὶ τοῦ κόσμου γιγνομένῳ 105 A.
ὑγεία, ἰσχύς· ἐπὶ δὲ αὖ τῷ ἐν τῇ ψυχῇ ἐγγιγνομένῳ
ἐκ τῆς τάξεως καὶ τοῦ κόσμου νόμιμόν τε καὶ νόμος
ὄνομα κεῖται. ὥσπερ γὰρ ἐπὶ ταῖς τοῦ σώματος τάξεσι
τὸ ὑγιεινὸν ἀποδίδομεν, ἐξ οὗ ἐν αὐτῷ ὑγίεια γίγνεται
καὶ ἄλλη ἀρετὴ τοῦ σώματος, οὕτως ἐπὶ ταῖς τῆς

17. p. 87, 29 Plat. Gorg. p. 504 A—505 B; sed 87, 3 sq. *οἷς — ψυχῆς* ex Phaedon. p. 82 D (supra p. 67, 28).

13 sq. *ἀσυμμέτρως* et *ἀπόλλυσιν* Cobet: *συμμέτρως* et *ἀπόλαυσιν* ‖ 26 *ἡ ὑγίεια* ex apogr. Ciz. K ‖ 27 *καὶ ἡ ἄλλη* P.

ψυχῆς κοσμήσεσιν ὁ νόμος λέγεται, ὅθεν καὶ νόμιμοι
γίγνονται καὶ κόσμιοι· ταῦτα δ' ἐστὶ δικαιοσύνη τε
καὶ σωφροσύνη. οὐκοῦν ἐκεῖνοι οἷς τι μέλει τῆς ἑαυτῶν
ψυχῆς πρὸς ταῦτα βλέποντες καὶ τοὺς λόγους προσοί-
σουσι ταῖς ψυχαῖς, οὓς ἂν λέγωσι, καὶ τὰς πράξεις ἁπά-
σας, καὶ δῶρον ἐάν τι διδῶσι, δώσουσι, καὶ ἐάν τι
ἀφαιρῶνται, ἀφαιρήσονται, πρὸς τοῦτο ἀεὶ τὸν νοῦν
256 K. ἔχοντες, ὅπως ἂν αὐτῶν δικαιοσύνη μὲν ἐν ταῖς ψυχαῖς
γίγνηται, ἀδικία δὲ ἀπαλλάττηται, καὶ σωφροσύνη μὲν
ἐγγίγνηται, ἀκολασία δὲ ἀπαλλάττηται, καὶ ἡ ἄλλη
ἀρετὴ ἐγγίγνηται, κακία δὲ ἀπίῃ. τί γὰρ ὄφελος σώ-
ματί γε κάμνοντι καὶ μοχθηρῶς διακειμένῳ ἢ σιτία
πολλὰ διδόναι καὶ τὰ ἥδιστα ἢ ποτὰ ἢ ἄλλο ὁτιοῦν,
ὃ μὴ ὀνήσει αὐτὸν ἔσθ' ὅ τι πλέον ἢ τοὐναντίον,
κατά γε τὸν δίκαιον λόγον, καὶ ἔλαττον; ἔστι ταῦτα.
οὐ γὰρ οἶμαι λυσιτελεῖν μετὰ μοχθηρίας σώματος ζῆν
106 A. ἀνθρώπῳ· ἀνάγκη γὰρ οὕτως καὶ ζῆν μοχθηρῶς. οὐκ-
οῦν καὶ τὰς ἐπιθυμίας ἀποπιμπλάναι, οἷον πεινῶντα
φαγεῖν ὅσον βούλεται ἢ διψῶντα πιεῖν, ὑγιαίνοντα
μὲν ἐῶσιν οἱ ἰατροὶ ὡς τὰ πολλά, κάμνοντα δὲ ὡς
ἔπος εἰπεῖν οὐδέποτε ἐῶσιν ἐμπίπλασθαι ὧν ἐπιθυμεῖ.
ἀλλὰ μὴν καὶ περὶ ψυχὴν ὁ αὐτὸς τρόπος· ἕως μὲν
ἂν πονηρὰ ᾖ, ἀνόητός τε οὖσα καὶ ἀκόλαστος καὶ
ἄδικος καὶ ἀνόσιος, εἴργειν αὐτὴν δεῖ τῶν ἐπιθυμιῶν
καὶ μὴ ἐπιτρέπειν, ἀλλ' αὐτὰ ποιεῖν ἃ ἂν ποιῶν
βελτίων ἔσται. οὐ γάρ που αὐτῇ ἄμεινον τῇ ψυχῇ.
258 K. οὐκοῦν τὸ εἴργειν ἐστὶν ἀφ' ὧν ἐπιθυμεῖ κολάζειν.
τὸ κολάζεσθαι ἄρα τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἀκολασία,
ὥσπερ οἱ πολλοὶ οἴονται, καὶ τὸ κόσμιον εἶναι καὶ

11 *ἀπίῃ* PK: *ἀπείῃ* ‖ 14 *ὀνή^σ'* ‖ *ὅ τι*] sic: *ὅτε* Scaliger ‖ 25 *ἐπιτρέπειν ἄλλ' ἄττα ποιεῖν ἢ ἀφ' ὧν βελτίων* P ‖ 26 *οὐ*] *οὕτω* PK.

τεταγμένον προέχει τοῦ ἀκοσμήτου τε καὶ ἀτάκτου, ὥστ' ἐξ ἅπαντος τρόπου τὴν δικαιοσύνην καὶ σωφροσύνην ἀσκητέον πρὸ τῶν ἐναντίων ἕξεων. καὶ τοῦτο μὲν ἡμῖν οὕτως ἐχέτω.

XIX. *Δύναιτο δ' ἄν τις καὶ κατ' ἰδίαν ἀπὸ τῶν ἐν τῇ ψυχῇ ἀγαθῶν ἐπεξελθεῖν τῷ προκειμένῳ, δεικνύων αὐτῶν τὸ τέλεον καὶ κύριον εὐδαιμονίας. ὅσῳ γὰρ ἡ ψυχὴ τοῦ σώματος προέχει, τοσούτῳ μᾶλλον καὶ* 107 A. *τἀγαθὰ αὐτῆς ὑπερέχει· καὶ τὰ μὲν τοῦ σώματος ἔσται εὐκαταφρόνητα, τὰ δὲ τῆς ψυχῆς τίμια καὶ σεμνά. καὶ τὸ ἀγαθὸν οὖν οὐ τὸ αὐτό ἐστιν ὅπερ τὸ ἡδύ, καὶ τοῦ ἀγαθοῦ ἕνεκα πρακτέον τὸ ἡδύ, οὐ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος. ἡδὺ δέ ἐστι τοῦτο, οὗ παραγενομένου ἡδόμεθα, ἀγαθὸν δέ, οὗ παρόντος ἀγαθοί ἐσμεν. ἀλλὰ μὴν ἀγαθοί γέ ἐσμεν καὶ ἡμεῖς καὶ τὰ ἄλλα πάντα, ὅσα ἀγαθά ἐστιν, ἀρετῆς τινος παραγενομένης. ἀλλὰ μὲν δὴ ἥ γε ἀρετὴ ἑκάστου, καὶ σκεύους καὶ σώματος* 260 K. *καὶ ψυχῆς αὖ καὶ ζῴου παντός, οὐ τῷ εἰκῇ καὶ κάλλιστα παραγίγνεται, ἀλλὰ τάξει καὶ ὀρθότητι καὶ τέχνῃ, ἥτις ἑκάστῳ ἀποδέδοται αὐτῶν. τάξει ἄρα τεταγμένον τι καὶ κεκοσμημένον ἐστὶν ἡ ἀρετὴ ἑκάστου, ὡς φαίη ἄν τις σωφρόνως λογιζόμενος *** ἐν ἑκάστῳ [γὰρ] ὁ ἑκάστου οἰκεῖος ἀγαθὸν παρέχει ἕκαστον τῶν ὄντων. ὅθεν δὴ καὶ ψυχὴ κόσμον ἔχουσα τὸν αὑτῆς ἀμείνων τῆς ἀκοσμήτου. ἀλλὰ μὴν ἥ γε κόσμον ἔχουσα κοσμία, ἡ δέ γε κοσμία σώφρων· ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή.*

11. p. 90, 14 Plat. Gorg. p. 506 C—508 A.

15 *γέ* PK: *τε* ‖ 21 *τί* ‖ 22 lacunam post *λογιζόμενος* indicavi et mox *γὰρ* delevi: exciderunt Platonis verba *κόσμος τις ἄρα ἐγγενόμενος*, unde *κόσμος* arripuit et post *οἰκεῖος* inseruit K ‖ 24 *αὐτῆς*.

λέγω δὴ οὖν ὅτι, εἰ ἡ σώφρων ἀγαθή ἐστιν, ἡ 108 A. *τοὐναντίον τῇ σώφρονι πεπονθυῖα κακή ἐστιν· ἦν δὲ αὕτη ἡ ἄφρων τε καὶ ἀκόλαστος. πολλὴ ἀνάγκη. καὶ μὴν ὅ γε σώφρων τὰ προσήκοντα πράττοι ἂν καὶ περὶ θεοὺς καὶ ἀνθρώπους· οὐ γὰρ ἂν σωφρονοῖ τὰ μὴ προσήκοντα πράττων. καὶ μὴν περὶ μὲν ἀνθρώπους* 262 K. *τὰ προσήκοντα πράττων δίκαια ἂν πράττοι, περὶ δὲ θεοὺς ὅσια· τὸν δὲ τὰ δίκαια καὶ ὅσια πράττοντα ἀνάγκη δίκαιον καὶ ὅσιον εἶναι. καὶ μὲν δὴ καὶ ἀνδρεῖόν γε ἀνάγκη· οὐ γὰρ δὴ σώφρονος ἀνδρός ἐστιν οὔτε διώκειν οὔτε φεύγειν ἃ μὴ προσήκει, ἀλλὰ δεῖ καὶ πράγματα καὶ ἀνθρώπους καὶ ἡδονὰς καὶ λύπας φεύγειν καὶ διώκειν, καὶ ὑπομένοντα καρτερεῖν ὅπου δεῖ. ὥστε πολλὴ ἀνάγκη τὸν σώφρονα, ὥσπερ διήλθομεν, δίκαιον ὄντα καὶ ἀνδρεῖον καὶ ὅσιον ἀγαθὸν ἄνδρα εἶναι τελέως, τὸν δὲ ἀγαθὸν εὖ τε καὶ καλῶς πράττειν ἃ ἂν πράττῃ, τὸν δὲ εὖ πράττοντα μακάριόν τε καὶ εὐδαίμονα εἶναι, τὸν δὲ πονηρὸν καὶ κακῶς πράττοντα ἄθλιον· οὗτος δ' ἂν εἴη ὁ ἐναντίως ἔχων τῷ σώφρονι, ὁ ἀκόλαστος. εἰ δή ἐστι ταῦτα ἀληθῆ, τὸν βουλόμενον, ὡς ἔοικεν, εὐδαίμονα εἶναι σωφροσύνην μὲν διωκτέον καὶ ἀσκητέον, ἀκολασίαν δὲ φευ-* 109 A. *κτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν, καὶ παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι, ἐὰν δὲ δεηθῇ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον, εἰ μέλλει εὐ-* 264 K. *δαίμων εἶναι. οὗτος ἔμοιγε δοκεῖ ὁ σκοπὸς εἶναι πρὸς ὃν βλέποντα δεῖ ζῆν, καὶ πάντα εἰς τοῦτο τὰ αὑτοῦ συντείνοντα καὶ τὰ τῆς πόλεως, ὅπως δικαιο-*

11 *ἀλλὰ*] sic ‖ 25 ⟨ἢ⟩ *αὐτὸς* P ‖ 29 *αὐτοῦ*.

σύνη παρέσται καὶ σωφροσύνη τῷ μακαρίῳ μέλλοντι ἔσεσθαι, οὕτω πράττειν, οὐκ ἐπιθυμίας ἐῶντα ἀκολάστους εἶναι καὶ ταῦτα ἐπιχειροῦντα πληροῦν, ἀνήνυτον κακόν, λῃστοῦ βίον ζῶντα. οὔτε γὰρ ἂν ἄλλῳ ἀνθρώπῳ προσφιλὴς εἴη ὁ τοιοῦτος οὔτε θεῷ· κοινωνεῖν γὰρ ἀδύνατος· ὅτῳ γὰρ μὴ ἔνι κοινωνία, φιλία οὐκ ἂν εἴη. φασὶ δὲ οἱ σοφοὶ καὶ οὐρανὸν καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συνέχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιότητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν, οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν. τὸν δὲ μὴ προσέχοντα τούτοις λέληθεν ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται· δι' ἃ πλεονεξίαν οἴονται δεῖν ἀσκεῖν· γεωμετρίας γὰρ ἀμελοῦσι. 110 A. τὸ μὲν οὖν ὅλον τῆς εὐδαίμονος ζωῆς πέρι οὕτως ἔχει. καὶ ἕπεται δὲ αὐτὴν τὸ καλῶς αἱρεῖσθαι μᾶλλον τελευτᾶν, οἷς ἐστιν ἐξουσία ζῆν μὴ καλῶς, πρὶν παῖδάς 266 K. τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς πατέρας τε καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι· τῷ γὰρ τοὺς αὑτοῦ αἰσχύναντι ἀβίωτόν ἐστι, καὶ τῷ τοιούτῳ οὔτε τις ἀνθρώπων οὔτε θεῶν φίλος ὑπάρχει οὔτ' ἐπὶ γῆς οὔτε ὑπὸ γῆν τελευτήσαντι. χρὴ οὖν πάντα ἄνδρα, ἐάν τι καὶ ἄλλο ἀσκῇ, μετ' ἀρετῆς ἀσκεῖν, εἰδότα ὅτι τούτου λειπόμενα ἅπαντα καὶ κτήματα καὶ ἐπιτηδεύματα αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετὰ ἀνανδρίας

16. p. 91, 21 Plat. Menex. p. 246 D—247 B.

13 δι' ἃ scripsi pro διὰ: διὸ (cf. Valckenaer ad Eur. Phoen. 541 p. 200) nescio unde K: οἱ δὲ Vitelli ‖ 15 εὐδαί (μον superscr.) ‖ 16 αὐτῇ scripsit K ‖ 20 αὐτοῦ ‖ 26 ἀνανδρείας.

(ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ καὶ οὐχὶ ἑαυτῷ), οὔτε σώματος κάλλος καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα πρέποντα φαίνεται ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα καὶ ἐκφαίνει τὴν δειλίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, οὐ σοφία φαίνεται. ὧν ἕνεκα πρῶτον καὶ ὕστατον καὶ διὰ παντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθαι δεῖ ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖταί τις τοὺς πρόσθεν προγόνους εὐκλείᾳ· 111 A. εἰ δὲ μή, ὅπως εἰς ἴσον αὐτοῖς καταστήσῃ τὴν αὑτοῦ καλοκἀγαθίαν· ἡ μὲν γὰρ ἐν τούτοις νίκη τιμὴν φέρει, ἡ δὲ ἧττα, ἐὰν ἡττᾶταί τις, αἰσχύνην. μάλιστα δ' ἂν 268 K. νικήσειέ τις ἐν τούτοις, εἰ παρασκευάσαιτο τῇ τῶν προγόνων δόξῃ μὴ καταχρήσασθαι μηδὲ ἀναλῶσαι αὐτὴν μάτην, καλῶς εἰδὼς ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι οὐκ ἔστιν αἴσχιον ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτόν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὑτοῦ κτημάτων τε καὶ εὐδοξιῶν. ἀφ' ἑαυτῶν γὰρ ἄρχεσθαι δεῖ πάντων τῶν ἀγαθῶν καὶ τῶν εἰς εὔκλειαν καὶ εὐδαιμονίαν φερόντων. πάλαι γὰρ δὴ τὸ Μηδὲν ἄγαν λεγόμενον καλῶς δοκεῖ λέγεσθαι· τῷ γὰρ ὄντι εὖ λέγεται. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν

24. p. 92, 10 Plat. Menex. p. 247 E—248 B.

2 κακῷ PA: καλῷ ‖ 7 διαπαντὸς ‖ 15 τί ‖ 18 τιμὰς γονέων ἐκγόνοις PK: ἡμᾶς γονέων ἐγγόνους ‖ 21 ἀπορίᾳ ἰδίων αὑτοῦ PK: ἀπορεῖ δὲ αὐτοῦ.

φέροντα ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται 112 A. ζῆν, οὗτός ἐστιν ὁ σώφρων καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος, οὗτος γιγνομένων χρημάτων καὶ παίδων καὶ διαφθειρομένων μάλιστα πείσεται τῇ παροιμίᾳ· οὔτε γὰρ χαίρων οὔτε λυπούμενος ἄγαν φανήσεται 270 K. διὰ τὸ αὑτῷ πεποιθέναι. τοιούτους δὲ ἡμεῖς ἀξιοῦμεν καὶ τοὺς ἀγαθοὺς εἶναι, οὔτε ἀγανακτοῦντας οὔτε φοβουμένους ἄγαν, εἰ δεῖ τελευτᾶν ἐν τῷ παρόντι ἢ ἄλλο τι πάσχειν τῶν ἀνθρωπίνων. διατεταμένως γὰρ δὴ δεῖ ταύτην ἔχειν τὴν δόξαν, ὡς ὁ μὲν ἀγαθὸς ἀνὴρ σώφρων ὢν καὶ δίκαιος εὐδαίμων ἐστὶ καὶ μακάριος, ἐάν τε μέγας καὶ ἰσχυρός, ἐάν τε μικρὸς καὶ ἀσθενής, καὶ ἐὰν πλουτῇ καὶ μή. ἐὰν δ' ἄρα πλουτῇ Κινύρα τε καὶ Μίδα μᾶλλον, ᾖ δὲ ἄδικος, ἄθλιός τέ ἐστι καὶ ἀνιαρῶς ζῇ· καὶ οὔτ' ἂν μνησαίμην, φησὶν ὁ ποιητής, εἴπερ ὀρθῶς λέγει, οὔτ' ἐν λόγῳ ἄνδρα τιθοίμην, ὃς μὴ πάντα τὰ λεγόμενα καλὰ μετὰ δικαιοσύνης πράττοι καὶ κτῷτο, καὶ δηίων τοιοῦτος ὢν ὀρέγοιτο ἐγγύθεν ἱστάμενος, ἄδικος δὲ ὢν μήτε τολμῷ ὁρῶν φόνον αἱματόεντα μήτε νικῷ θέων Θρηίκιον Βορέην, μηδὲ ἄλλο αὐτῷ μηδὲν τῶν λεγομένων ἀγαθῶν γίγνοιτό ποτε. 113 A. τὰ γὰρ ὑπὸ τῶν πολλῶν λεγόμενα ἀγαθὰ οὐκ ὀρθῶς λέγεται. λέγεται γὰρ ὡς 'ἄριστον μὲν ὑγιαίνειν, δεύτερον 272 K. δὲ κάλλος, τρίτον δὲ πλοῦτος.' μυρία δὲ ἄλλα

12. p. 93, 19 Plat. De Legg. II p. 660 E—662 A.

17 ἐστὶ superscr. ‖ 18 οὔτε ‖ 20 κτῷτο PA: κεκτῷτο: κεκτῇτο Cobet ‖ 27 πλοῦτον: 'voluit fortasse πλουτεῖν' Cobet.

ἀγαθὰ λέγεται· καὶ γὰρ ὀξὺ ὁρᾶν καὶ ἀκούειν καὶ πάντα ὅσα ἔχεται τῶν αἰσθήσεων εὐαισθήτως ἔχειν, ἔτι δὲ καὶ τὸ ποιεῖν τυραννοῦντα ὅ τι δἂν ἐπιθυμῇ, καὶ τὸ δὴ τέλος ἁπάσης μακαριότητος εἶναι τὸ πάντα ταῦτα κεκτημένον ἀθάνατον εἶναι γενόμενον ὅ τι τάχιστα. ὁ δὲ ἐμὸς λόγος ταδὶ λέγει, ὡς ταῦτά ἐστι ξύμπαντα δικαίοις μὲν καὶ ὁσίοις ἀνδράσιν ἄριστα κτήματα, ἀδίκοις δὲ κάκιστα ξύμπαντα, ἀρξάμενα ἀπὸ τῆς ὑγείας. καὶ δὴ καὶ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν καὶ αἰσθάνεσθαι καὶ τὸ παράπαν ζῆν μέγιστον μὲν κακὸν τὸν ξύμπαντα χρόνον ἀθάνατον ὄντα καὶ κεκτημένον πάντα τὰ λεγόμενα ἀγαθὰ πλὴν δικαιοσύνης καὶ ἀρετῆς ἁπάσης, ἔλαττον δέ, ἂν ὡς ὀλίγιστον ὁ τοιοῦτος χρόνον ἐπιζῴη. λέγω γὰρ δὴ σαφῶς τὰ μὲν κακὰ λεγόμενα ἀγαθὰ τοῖς ἀδίκοις εἶναι, τοῖς δὲ δικαίοις κακά, τὰ δὲ ἀγαθὰ τοῖς μὲν ἀγαθοῖς ὄντως ἀγαθά, τοῖς δὲ κακοῖς κακά. καὶ ὁ μὲν ἀδίκως ζῶν καὶ ὑβριστικῶς ἐξ ἀνάγκης 274 K. αἰσχρῶς ζῇ, εἰ δὲ αἰσχρῶς, καὶ κακῶς· ὥστε καὶ ἀηδῶς ζῇ καὶ οὐ ξυμφερόντως ἑαυτῷ· τὸν γὰρ αὐτὸν ἥδιστόν 114 A. τε καὶ ἄριστον ὑπὸ θεῶν βίον λέγεσθαι φάσκοντες ἀληθέστατα ἐροῦμεν. εἰ τοίνυν καὶ τὰ ἀγαθὰ τῷ κατ' ἀρετὴν βίῳ μάλιστα συνήρτηται, καὶ τότε ἐστὶν ἀγαθὰ ὄντως, καὶ τὸ χαίρειν τῷ φιλοσοφεῖν μόνῳ συνέπεται, πάντων ἕνεκα χρὴ τοῦτον τὸν βίον προαιρεῖσθαι τοὺς βουλομένους ὄντως εὐδαιμονεῖν.

XX. *Οἶμαι τοίνυν* οὐκ ἀνάρμοστον εἶναι ἐνταῦθα καὶ τὴν διὰ τῶν ὑποθηκῶν προτροπὴν ἤδη πως συνεγγίζουσαν εἰς τὴν ὑφήγησιν τὸ πῶς δεῖ βιοῦν, καὶ μά-

3 δἂν (cf. Usener, Jahrb. f. Phil. 1878 p. 66) scripsi pro δ' ἂν: ἂν PA ‖ 4 μακαριό$^{τητ'}$ ‖ 28 τὸ] τοῦ scripsit K: an συνεγγίζουσαν transitive dictum?

λιστα ἐμφαίνουσαν τοῦτο, ὡς οὐκ ἀπέσπασται τὰ τοῦ
λόγου τοῦ κατὰ φιλοσοφίαν μέρη, συνεχῆ δ' ἐστὶ
πάντα πρὸς ἄλληλα. κατὰ δὴ ταύτην οὖν τὴν μέθο-
δον ἀπὸ τῶν τιμιωτάτων ἀρχόμεθα πρῶτον, ὡς δεῖ
θεοσέβειαν ἀσκεῖν. αὕτη δὲ οὐκ ἂν παραγένοιτο, εἰ μή
τις ἀφομοιώσειε τῷ θεραπευομένῳ τὸ θεραπεῦον, τὴν
δὲ ὁμοιότητα ταύτην οὐκ ἄλλη τις ἢ φιλοσοφία παρέχει.
ἀλλὰ μὴν καὶ ἀψεύδειαν δεῖ περὶ πολλοῦ ποιεῖσθαι· 276 K.
τὸ γὰρ ἀληθεύειν καὶ πρὸς θεοὺς κατὰ τὴν θείαν ἀλή-
θειαν καὶ πρὸς ἀνθρώπους κατὰ τὴν ἀνθρωπίνην ἡγεῖ-
ται ἡμῖν πάντων τῶν θείων καὶ ἀνθρωπίνων ἀγαθῶν. 115 A.
τοιαύτης δὲ οὔσης τῆς ἀληθείας, μόνως διὰ φιλοσοφίας
αὕτη παραγίγνεται· μόνοι γὰρ φιλοθεάμονές εἰσι τῆς
ἀληθείας οἱ φιλόσοφοι. ἔτι τοίνυν τῶν νόμων τὴν
δύναμιν ἑκάστου ἐπίστασθαι προσήκει, καὶ ὡς χρη-
στέον αὐτοῖς ἐστι· ταῦτα δὲ οὐκ ἔνεστι μαθεῖν μὴ
τὴν ἀρετὴν εἰδότας, πρὸς ἣν καὶ τὴν δύναμιν καὶ
τὴν χρῆσιν τῶν νόμων ἀναφέρομεν· ἡ δὲ τῆς ἀρετῆς
ἐπιτήδευσις διὰ φιλοσοφίας παραγίγνεται· ὥστε καὶ
πρὸς ταύτην ἡγεμών ἐστι φιλοσοφία. ἔτι τοίνυν εἰδέ-
ναι δεῖ πῶς πρὸς ἀνθρώπους ὁμιλητέον, τοῦτο δὲ
οὐκ ἄν τις διαγνοίη μὴ τὸν τοῦ προσήκοντος ἀπολο-
γισμὸν ἐπὶ πασῶν τῶν πράξεων ἐπεσκεμμένος, τὴν
ἀξίαν τε καὶ ἀπαξίαν εἰδὼς ἑκάστου τῶν ἀνθρώπων,
καὶ δυνάμενος διακρίνειν τὰ ἤθη καὶ τὰς φύσεις ἑκά-
στων καὶ τὰς τῆς ψυχῆς δυνάμεις καὶ τοὺς κατὰ πάντα
ταῦτα συναρμόζοντας λόγους. ἀλλὰ μὴν τούτων γε 278 K.
οὐδὲν χωρὶς φιλοσοφίας παραγίγνεται· καὶ τούτων οὖν
ἕνεκα χρήσιμος ἂν εἴη. εἰ δὲ καὶ τοὺς θηριώδεις ἀν-

4 fort. ἀρχώμεθα ‖ 22 ἀπολογισμὸν A: ἀπολογησμὸν.

θρώπους καταγωνίζεσθαι ὁ τῆς ἀνδρείας παραγγέλλει
νόμος καὶ τὰ βλαβερώτατα τῶν θηρίων χειροῦσθαι,
χωρεῖν τε ἐπὶ τοὺς κινδύνους δεῖ προθύμως καὶ ἐθί-
116 A. ζεσθαι αὐτοὺς ὑπομένειν, ἴδωμεν καὶ πρὸς ταῦτα τίς
ἡμᾶς ἐπιστήμη ἢ δύναμις παρασκευάζει ἐπιτηδείους.
οὐδεμία ἂν ἄλλη, ὡς ἐγῷμαι, ἢ μόνη φιλοσοφία. αὕτη
γὰρ διαμελετᾷ καρτερεῖν καὶ τοῦ θανάτου καταφρονεῖν
ἐγκράτειάν τε ἐπιτηδεύει δι' ὅλου τοῦ βίου, καὶ πρὸς
μὲν τοὺς πόνους ἐναθλεῖ γενναίως, τῶν δὲ ἡδονῶν
ὑπερορᾷ παντάπασι. μόνης ἄρα ταύτης ἀντιλαμβάνε-
σθαι χρὴ τοὺς βουλομένους τῶν θείων καὶ ἀνθρωπίνων
ἀγαθῶν πάντων μεταλαγχάνειν. ὡς γὰρ ἁπλῶς εἰπεῖν,
ὅ τι ἄν τις ἐθέλῃ ἐξεργάσασθαι εἰς τέλος τὸ βέλτιστον,
ἐάν τε σοφίαν ἐάν τε ἀνδρείαν ἐάν τε εὐγλωσσίαν ἐάν
τε ἀρετὴν ἢ τὴν σύμπασαν ἢ μέρος τι αὐτῆς, ἐκ τῶνδε
οἷόν τε εἶναι κατεργάσασθαι. φῦναι μὲν πρῶτον δεῖν,
280 K. καὶ τοῦτο μὲν τῇ τύχῃ ἀποδεδόσθαι, τὰ δὲ ἐπ' αὐτῷ
ἤδη τῷ ἀνθρώπῳ τάδε εἶναι, ἐπιθυμητὴν γενέσθαι
τῶν καλῶν καὶ ἀγαθῶν φιλόπονόν τε καὶ πρωιαίτατα
μανθάνοντα καὶ πολὺν χρόνον αὐτοῖς συνδιατελοῦντα.
εἰ δέ τι ἀπέσται τούτων καὶ ἕν, οὐχ οἷόν τέ ἐστιν οὐδὲ
ἐς τέλος τὸ ἄκρον ἐξεργάσασθαι, ἔχοντος δὲ ἅπαντα
ταῦτα, ἀνυπέρβλητον γίγνεται τοῦτο, ὅ τι ἂν ἀσκῇ
τις τῶν ἀνθρώπων. εἰ δὴ καὶ ἐπὶ τῶν ἄλλων ἐπι-
117 A. στημῶν ὀρθὸν τοῦτο, πόσῳ δὴ πλέον ἐπὶ τῆς ἡγε-
μονικωτάτης πασῶν τῶν τεχνῶν, φιλοσοφίας; πόνους
τε δεῖ πάντας ὑφίστασθαι γενναίως καὶ χρόνον πολὺν
καταναλίσκειν εἰς τὴν μάθησιν προθυμίαν τε εἰσφέρε-

6 οὐδεμία αν scripsit K, qui post ἄλλη addit εἴη (at cf. infra p. 98, 19): οὐ δὲ μίαν ἂν ‖ 8 num ἐπιτηδεύειν? 21 ἐστιν] ἔστι.

σθαι μεγίστην. πρὸς δὴ τούτοις, ἐξ οὗ ἄν τις βούληται δόξαν παρὰ τοῖς ἀνθρώποις λαβεῖν καὶ τοιοῦτος φαίνεσθαι οἷος ἂν ᾖ, αὐτίκα δεῖ νέον τε ἄρξασθαι καὶ ἐπιχρῆσθαι αὐτῷ ὁμαλῶς ἀεὶ καὶ μὴ ἄλλοτε ἄλλως. συγχρονισθὲν μὲν γὰρ ἕκαστον τούτων καὶ αὐτίκα τε ἀρξάμενον καὶ συναυξηθὲν εἰς τέλος λαμβάνει βέβαιον τὴν δόξαν καὶ τὸ κλέος διὰ τάδε, ὅτι πιστεύεταί τε ἤδη ἀνενδοιάστως, καὶ ὁ φθόνος τῶν ἀνθρώπων οὐ 282 K. προσγίγνεται, δι' ὃν τὰ μὲν οὐκ αὔξουσιν οὐδ' εὐλόγως μηνύουσι, τὰ δὲ καταψεύδονται μεμφόμενοι παρὰ τὸ δίκαιον. οὐ γὰρ ἡδὺ τοῖς ἀνθρώποις ἄλλον τινὰ τιμᾶν (αὐτοὶ γὰρ στερίσκεσθαί τινος ἡγοῦνται), χειρωθέντες δὲ ὑπὸ τῆς ἀνάγκης αὐτῆς καὶ κατὰ σμικρὸν ἐκ πολλοῦ ἐπαχθέντες ἐπαινέται καὶ ἄκοντες ὅμως γίγνονται· ἅμα δὲ καὶ οὐκ ἀμφιβάλλουσιν, εἴτε ἄρα τοιοῦτος ἄνθρωπός ἐστιν οἷος φαίνεται, ἢ ἐνεδρεύει καὶ θηρεύεται τὴν δόξαν ἐπὶ ἀπάτῃ, καὶ ἃ ποιεῖ, ταῦτα καλλωπίζεται ὑπαγόμενος τοὺς ἀνθρώπους· ἐν ἐκείνῳ δὲ τῷ τρόπῳ, ᾧ ἐγὼ προεῖπον, ἀσκηθεῖσα ἡ 118 A. ἀρετὴ πίστιν ἐμποιεῖ περὶ ἑαυτῆς καὶ εὔκλειαν. ἑαλωκότες γὰρ ἤδη κατὰ τὸ ἰσχυρὸν οἱ ἄνθρωποι οὔτε τῷ φθόνῳ ἔτι δύνανται χρῆσθαι οὔτε ἀπατᾶσθαι ἔτι οἴονται. ἔτι δὲ καὶ ὁ χρόνος συνὼν μὲν ἑκάστῳ ἔργῳ καὶ πράγματι πολὺς καὶ διὰ μακροῦ κρατύνει τὸ ἀσκούμενον, ὁ δὲ ὀλίγος χρόνος οὐ δύναται τοῦτο ἀπεργάζεσθαι. καὶ τέχνην μὲν ἄν τις τὴν κατὰ λόγους πυθόμενος καὶ μαθὼν οὐ χείρων τοῦ διδάσκοντος ἂν γένοιτο ἐν ὀλίγῳ χρόνῳ, ἀρετὴ δὲ ἥτις ἐξ ἔργων πολλῶν 284 K. συνίσταται, ταύτην δὲ οὐχ οἷόν τε ὀψὲ ἀρξαμένῳ οὔτε

9 εὐλό^γ ‖ 20 ἑαυ^τ ‖ 29 δὲ] γε K: fort. δὴ ‖ οὔτε] immo οὐδὲ.

ὀλιγοχρονίως ἐπὶ τέλος ἀγαγεῖν, ἀλλὰ συντραφῆναί τε αὐτῇ δεῖ καὶ συναυξηθῆναι τῶν μὲν εἰργόμενον κακῶν καὶ λόγων καὶ ἠθῶν, τὰ δ' ἐπιτηδεύοντα καὶ κατεργαζόμενον σὺν πολλῷ χρόνῳ καὶ ἐπιμελείᾳ. ἅμα δέ τις καὶ τῇ ἐξ ὀλίγου χρόνου εὐδοξίᾳ προσγίγνεται βλάβη τοιάδε· τοὺς γὰρ ἐξαπιναίως καὶ ἐξ ὀλίγου χρόνου ἢ πλουσίους ἢ σοφοὺς ἢ ἀγαθοὺς ἢ ἀνδρείους γενομένους οὐκ ἀποδέχονται ἡδέως οἱ ἄνθρωποι. εἰ δὴ ταῦτα ἀληθῆ λέγομεν, καὶ οὐχ οἷόν τε ἄλλως τὴν 119 A. ὁμοιότητα τῶν ἠθῶν καὶ τὸ βέβαιον καὶ τὸ ἀμετάπτωτον παραγίγνεσθαι ἢ διὰ μόνης φιλοσοφίας, καὶ τοῦτο σαφὲς γέγονεν ἐκ τούτων, ὡς, εἰ βουλοίμεθα τελείως ἀγαθοὶ γενέσθαι εὐκλείας τε καὶ εὐδαιμονίας ὄντως μεταλαβεῖν, οὐκ ἄλλο τι πρακτέον ἡμῖν ἢ φιλοσοφητέον.

Ἔτι τοίνυν καὶ ἥδε ἡ παραίνεσις ἐπὶ τὸ αὐτὸ τέλος φέρει, ὡς, ὅταν τις ὀρεχθείς τινος τοῦτο κατεργασάμενος ἔχῃ αὐτὸ εἰς τέλος, ἐάν τε εὐγλωσσίαν ἐάν τε σοφίαν ἐάν τε ἰσχύν, τούτῳ εἰς ἀγαθὰ καὶ νόμιμα καταχρῆσθαι δεῖ· εἰ δὲ εἰς ἄδικά τε καὶ ἄνομα χρήσεταί τις τῷ ὑπάρχοντι ἀγαθῷ, πάντων κάκιστον εἶναι τὸ τοιοῦτον καὶ ἀπεῖναι κρεῖσσον αὐτὸ ἢ 286 K. παρεῖναι· καὶ ὥσπερ ἀγαθὸς τελέως ὁ τούτων τι ἔχων γίγνεται εἰς τὰ ἀγαθὰ αὐτοῖς καταχρώμενος, οὕτω πάλιν πάγκακος τελέως ὁ εἰς τὰ πονηρὰ χρώμενος. τόν τε αὖ ἀρετῆς ὀρεγόμενον τῆς συμπάσης σκεπτέον εἶναι, ἐκ τίνος ἂν λόγου ἢ ἔργου ἄριστος εἴη· τοιοῦτος δ' ἂν εἴη ὁ πλείστοις ὠφέλιμος ὤν. εἰ μέν τις χρήματα διδοὺς εὐεργετήσει τοὺς πλησίον, ἀναγκασθήσεται κακὸς εἶναι πάλιν αὖ συλλέγων τὰ χρήματα·

28 εὐεργετῆ^σ ‖ 29 εἶναι· πάλιν αὖ.

ἔπειτα οὐκ ἂν οὕτω ἄφθονα συναγάγοι ὥστε μὴ ἐπιλείπειν διδόντα καὶ δωρούμενον· εἶτα αὕτη αὖθις δευτέρα κακία προσγίγνεται μετὰ τὴν συναγωγὴν τῶν χρημάτων, ἐὰν ἐκ πλουσίου πένης γένηται καὶ ἐκ 120 A. κεκτημένου μηδὲν ἔχων. πῶς ἂν οὖν δή τις μὴ χρήματα νέμων ἀλλὰ ἄλλῳ δή τινι τρόπῳ εὐποιητικὸς ἂν εἴη ἀνθρώπων, καὶ ταῦτα μὴ σὺν κακίᾳ ἀλλὰ σὺν ἀρετῇ; καὶ προσέτι δωρούμενος πῶς ἂν ἔχοι τὴν δόσιν ἀνέκλειπτον; ὧδε οὖν ἔσται τοῦτο, εἰ τοῖς νόμοις τε καὶ τῷ δικαίῳ ἐπικουροίη· τοῦτο γὰρ τάς τε πόλεις καὶ τοὺς ἀνθρώπους τὸ συνοικίζον καὶ τὸ συνέχον εἶναι. πάλιν οὖν καὶ ἐκ τούτου τὰ αὐτὰ συμβαίνει· εἰ γὰρ τὴν ὀρθὴν χρῆσιν πάντων τῶν ἐν τῷ βίῳ 288 K. πραγμάτων καὶ τὴν τοῦ νοῦ διανομὴν ἣν καλοῦμεν νόμον φιλοσοφία παραδίδωσι γνησίως, οὐδὲν ἄλλο δεῖ πράττειν ἢ φιλοσοφεῖν ἀληθινῶς τοὺς βουλομένους τῆς τελειοτάτης ζωῆς μεταλαμβάνειν. καὶ μὴν ἐγκρατέστατόν γε δεῖ εἶναι πάντα ἄνδρα διαφερόντως· τοιοῦτος δ' ἂν μάλιστα, εἴ τις τῶν χρημάτων κρείσσων εἴη πρὸς ἃ πάντες διαφθείρονται, καὶ τῆς ψυχῆς ἀφειδὴς ἐπὶ τοῖς δικαίοις ἐσπουδακὼς καὶ τὴν ἀρετὴν μεταδιώκων· πρὸς ταῦτα γὰρ δύο οἱ πλεῖστοι ἀκρατεῖς εἰσι. διὰ τοιοῦτον δέ τι ταῦτα πάσχουσιν· φιλοψυχοῦσι μέν, ὅτι † τοῦτο ἡ ζωή ἐστιν ἡ ψυχή· ταύτης οὖν φείδονται καὶ ποθοῦσιν αὐτὴν διὰ φιλίαν τῆς ζωῆς καὶ συνήθειαν ᾗ συντρέφονται· φιλοχρηματοῦσι 121 A. δὲ τῶνδε εἵνεκα, ἅπερ φοβεῖ αὐτούς. τί δ'

6 εὖ ποιητικος ‖ 19 μάλιστα εἴη scripsit K, at cf. Kühner II² p. 37. rursus infra (p. 99, 22) ἂν pro ἂν ἦν ‖ 24 ταὐτὸ ἡ ζωή ἐστι τῇ ψυχῇ scripsit K: fortasse τούτοις ἡ ζωή ἐστιν ἡ ψυχή vel τούτοις ταὐτόν ἐστιν ἡ ζωὴ καὶ ἡ ψυχή.

ἐστὶ ταῦτα; αἱ νόσοι, τὸ γῆρας, αἱ ἐξαπιναῖοι ζημίαι, οὐ τὰς ἐκ τῶν νόμων λέγω ζημίας (ταύτας μὲν γὰρ καὶ εὐλαβηθῆναι ἔστι καὶ φυλάξασθαι), ἀλλὰ τὰς τοιαύτας, πυρκαϊάς, θανάτους οἰκετῶν, τετραπόδων, ἄλλας αὖ συμφοράς, αἳ περίκεινται αἱ μὲν τοῖς σώμασιν, αἱ δὲ ταῖς ψυχαῖς, αἱ δὲ τοῖς χρήμασι. τούτων δὴ οὖν 290 K. ἕνεκα πάντων, ὅπως ἐς ταῦτα ἔχωσι χρῆσθαι τοῖς χρήμασι, πᾶς ἀνὴρ τοῦ πλούτου ὀρέγεται. καὶ ἄλλ' ἅττα δέ ἐστιν ἅπερ οὐχ ἧσσον ἢ τὰ προειρημένα ἐξορμᾷ τοὺς ἀνθρώπους ἐπὶ τὸν χρηματισμόν, αἱ πρὸς ἀλλήλους φιλοτιμίαι καὶ οἱ ζῆλοι καὶ αἱ δυναστεῖαι, δι' ἃς τὰ χρήματα περὶ πολλοῦ ποιοῦνται, ὅτι συμβάλλεται εἰς τὰ τοιαῦτα. ὅστις δέ ἐστιν ἀνὴρ ἀληθῶς ἀγαθός, οὗτος οὐκ ἀλλοτρίῳ κόσμῳ περικειμένῳ τὴν δόξαν θηρᾶται, ἀλλὰ τῇ αὐτοῦ ἀρετῇ. διόπερ ἐπεὶ φιλοσοφία εἰς ἑαυτὸν ἀνηρτῆσθαι ποιεῖ τῷ ἀγαθῷ πάντα, παθῶν δὲ καὶ τῆς ἔξω χρείας ἀφίστησιν, εἴη ἂν χρησιμωτάτη πασῶν πρὸς τὸν εὐδαίμονα βίον. καὶ περὶ φιλοψυχίας δὲ ὧδε ἄν τις πεισθείη, ὅτι, εἰ μὲν 122 A. ὑπῆρχε τῷ ἀνθρώπῳ εἰ μὴ ὑπ' ἄλλου ἀποθάνοι ἀγήρῳ τε εἶναι καὶ ἀθανάτῳ τὸν λοιπὸν χρόνον, συγγνώμη ἂν πολλὴ τῷ φειδομένῳ τῆς ψυχῆς· ἐπεὶ δὲ ὑπάρχει τῷ βίῳ μηκυνομένῳ τό τε γῆρας κάκιον ὂν ἀνθρώποις καὶ μὴ ἀθάνατον εἶναι, καὶ ἡ ἀμαθία ἤδη ἐστὶ μεγάλη καὶ συνήθεια πονηρῶν λόγων τε καὶ ἐπιθυμημάτων, ταύτην περιποιεῖν ἐπὶ δυσκλείᾳ, ἀλλὰ μὴ ἀθάνατον 292 K. ἀντ' αὐτῆς † λείπεσθαι, ἀντὶ θνητῆς οὔσης εὐλογίαν ἀέναον καὶ ἀεὶ ζῶσαν. εἰ τοίνυν μόνη φιλοσοφία

16 cf. Plat. Menex. p. 247 E (supra p. 72, 4 et 91, 26).

5 fort. ἐπίκεινται ‖ 8 sq. ἀλλάττα ‖ 24 ἡ deleverim ‖ 27 αἱρεῖσθαι coni. K ‖ 28 ἀένναον ‖ ζῶσαν A: ζῶσα.

μελέτην ἐμποιεῖ θανάτου καὶ καταφρόνησιν, ἐπὶ δὲ τὴν ἀθάνατον καὶ ἀεὶ οὖσαν ζωὴν ἐπανάγει καὶ τοὺς ἀεὶ ὄντας λόγους ἀναδιδάσκει καὶ τούτους ζηλοῦν ἐθίζει, πασῶν ἂν εἴη καὶ διὰ τοῦτο ὠφελιμωτάτη.

Ἔτι τοίνυν οὐκ ἐπὶ πλεονεξίαν ὁρμᾶν δεῖ, οὐδὲ τὸ κράτος τὸ ἐπὶ τῇ πλεονεξίᾳ ἡγεῖσθαι ἀρετὴν εἶναι, τὸ δὲ τῶν νόμων ὑπακούειν δειλίαν· πονηροτάτη γὰρ αὕτη ἡ διάνοιά ἐστι, καὶ ἐξ αὐτῆς πάντα τἀναντία τοῖς ἀγαθοῖς γίνεται, κακία τε καὶ βλάβη. εἰ γὰρ ἔφυσαν μὲν οἱ ἄνθρωποι ἀδύνατοι καθ' ἕνα ζῆν, συνῆλθον δὲ πρὸς ἀλλήλους τῇ ἀνάγκῃ εἴκοντες, πᾶσα δὲ ἡ ζωὴ αὐτοῖς εὕρηται καὶ τὰ τεχνήματα πρὸς αὐτήν, 123 A.
σὺν ἀλλήλοις δὲ εἶναι αὐτοὺς καὶ ἀνομίᾳ διαιτᾶσθαι οὐχ οἷόν τε (μείζω γὰρ αὐτοῖς ζημίαν οὕτω γίγνεσθαι ἐκείνης τῆς κατὰ ἕνα διαίτης), διὰ ταύτας τοίνυν τὰς ἀνάγκας τόν τε νόμον καὶ τὸ δίκαιον ἐμβασιλεύειν τοῖς ἀνθρώποις καὶ οὐδαμῇ μεταστῆναι ἂν αὐτά· φύσει γὰρ ἰσχυρὰ ἐνδεδέσθαι ταῦτα. εἰ μὲν δὴ γένοιτό τις ἐξ ἀρχῆς φύσιν τοιάνδε ἔχων, ἄτρωτος τὸν χρῶτα ἄνοσός τε καὶ ἀπαθὴς καὶ ὑπερφυὴς καὶ ἀδαμάντινος τό τε σῶμα καὶ τὴν ψυχήν, τῷ τοιούτῳ ἴσως ἄν τις 294 K.
ἀρκεῖν ἐνόμισε τὸ ἐπὶ τῇ πλεονεξίᾳ κράτος (τὸν γὰρ τοιοῦτον τῷ νόμῳ μὴ ὑποδύνοντα δύνασθαι ἀθῷον εἶναι), οὐ μὴν ὀρθῶς οὗτος οἴεται· εἰ γὰρ καὶ τοιοῦτός τις εἴη, ὡς οὐκ ἂν γένοιτο, τοῖς μὲν νόμοις συμμαχῶν καὶ τῷ δικαίῳ καὶ ταῦτα κρατύνων καὶ τῇ ἰσχύι χρώμενος ἐπὶ ταῦτά τε καὶ τὰ τούτοις ἐπικουροῦντα, οὕτω μὲν ἂν σῴζοιτο ὁ τοιοῦτος, ἄλλως δὲ οὐκ ἂν διαμένοι· δοκεῖν γὰρ ἂν τοὺς ἅπαντας ἀν-

7 δειλίαν A: δεῖ λίαν ‖ 23 ἐπαμύνοντα coni. Vitelli.

θρώπους τῷ τοιούτῳ φύντι πολεμίους κατασταθέντας διὰ τὴν ἑαυτῶν εὐνομίαν, καὶ τὸ πλῆθος ἢ τέχνῃ ἢ
124 A. δυνάμει ὑπερβαλέσθαι ἂν καὶ περιγενέσθαι τοῦ τοιούτου ἀνδρός. οὕτω φαίνεται καὶ αὐτὸ τὸ κράτος, ὅπερ δὴ κράτος ἐστί, διά τε τοῦ νόμου καὶ διὰ τὴν δίκην σῳζόμενον. χωρὶς δὲ τούτων αὐτὸ δι' αὑτὸ αἱρετόν ἐστι τὸ δίκαιον, καὶ φύσει πρὸς αὐτὸ πεφύκαμεν. κἂν μηδὲν οὖν τῶν ἔξωθεν περιγίγνηται κἂν ἐλαττώματά τινα συμβαίνῃ ἀνθρώπινα, δικαιοπραγεῖν ἄξιον, ὡς τούτου ὄντος πᾶσι τιμιωτάτου.

Μαθεῖν δὲ ἄξιον καὶ ταῦτα περὶ τῆς εὐνομίας τε καὶ ἀνομίας, ὅσον διαφέρετον ἀλλήλοιν, καὶ ὅτι μὲν εὐνομία ἄριστον εἴη καὶ κοινῇ καὶ ἰδίᾳ, ἡ ἀνομία δὲ
296 K. κάκιστον· αἱ γὰρ παραχρῆμα βλάβαι γίγνονται ἐκ τῆς ἀνομίας. ἀρξώμεθα δὲ τὰ τῆς εὐνομίας δηλοῦν, ἅπερ γίγνεται πρότερα.

Πίστις μὲν πρώτη ἐγγίγνεται ἐκ τῆς εὐνομίας μεγάλα ὠφελοῦσα τοὺς ἀνθρώπους τοὺς σύμπαντας, καὶ τῶν μεγάλων ἀγαθῶν τοῦτό ἐστι· κοινὰ γὰρ τὰ χρήματα γίγνεται ἐξ αὐτῆς, καὶ οὕτω μὲν ἐὰν καὶ ὀλίγα ᾖ ἐξαρκεῖ ὅμως κυκλούμενα, ἄνευ δὲ ταύτης οὐδ' ἂν πολλὰ ᾖ ἐξαρκεῖ.

125 A. Καὶ αἱ τύχαι δὲ αἱ εἰς τὰ χρήματα καὶ τὸν βίον, αἵ τε ἀγαθαὶ καὶ μή, ἐκ τῆς εὐνομίας τοῖς ἀνθρώποις προσφορώτατα κυβερνῶνται· τούς τε γὰρ εὐτυχοῦντας ἀσφαλεῖ αὐτῇ χρῆσθαι καὶ ἀνεπιβουλεύτῳ, τούς τε αὖ δυστυχοῦντας ἐπικουρεῖσθαι ἐκ τῶν εὐτυχούντων διὰ τὴν ἐπιμιξίαν τε καὶ πίστιν, ἅπερ ἐκ τῆς εὐνομίας γίγνεται.

9 συμβαί ‖ 12 num ὅτι ⟨ἡ⟩ μὲν deletis mox εὐνομία et ἀνομία? ‖ 17 sqq. de numeris in codice praefixis v. praefat.

Τόν τε αὖ χρόνον τοῖς ἀνθρώποις διὰ τὴν εὐνομίαν εἰς μὲν τὰ πράγματα ἀργὸν γίγνεσθαι, εἰς δὲ τὰ ἔργα τῆς ζωῆς ἐργάσιμον.

Φροντίδος δὲ τῆς μὲν ἀηδεστάτης ἀπηλλάχθαι τοὺς ἀνθρώπους ἐν τῇ εὐνομίᾳ, τῇ δὲ ἡδίστῃ συνεῖναι· 298 K. πραγμάτων μὲν γὰρ φροντίδα ἀηδεστάτην εἶναι, ἔργων δὲ ἡδίστην.

Εἴς τε αὖ τὸν ὕπνον ἰοῦσιν, ὅπερ ἀνάπαυμα κακῶν ἐστιν ἀνθρώποις, ἀφόβους μὲν καὶ ἄλυπα μεριμνῶντας ἔρχεσθαι εἰς αὐτόν, γιγνομένους δὲ ἐπ' αὐτοῦ ἕτερα τοιαῦτα πάσχειν, καὶ μὴ ἐμφόβους ἐξάπινα καθίστασθαι † οὐδ' ἐκ μεταλλαγῆς ἡδίστης τοῦ γνωστὴν τὴν ἡμέραν εἶναι προσδέχεσθαι, ἀλλὰ ἡδέως φροντίδας μὲν ἀλύπους περὶ τὰ ἔργα τῆς ζωῆς ποιουμένους, τοὺς 126 A. πόνους δὲ τῇ ἀντιλήψει ἀγαθῶν ἐλπίσιν εὐπίστοις καὶ εὐπροσδοκήτοις ἀνακουφίζοντας, ὧν πάντων τὴν εὐνομίαν αἰτίαν εἶναι.

Καὶ τὸ κακὰ μέγιστα τοῖς ἀνθρώποις πορίζον, πόλεμον ἐπιφερόμενον εἰς καταστροφὴν καὶ δούλωσιν, καὶ τοῦτο ἀνομοῦσι μὲν μᾶλλον ἐπέρχεσθαι, εὐνομουμένοις δ' ἧσσον.

Καὶ ἄλλα δὲ πολλά ἐστιν ἐν τῇ εὐνομίᾳ ἀγαθά, 300 K. ἅπερ ἐπικουρήματα τῇ ζωῇ καὶ παραψυχὴ τῶν χαλεπῶν ἐξ αὐτῆς γίγνεται· τὰ δ' ἐκ τῆς ἀνομίας κακὰ ἀποβαίνοντα τάδε ἐστίν.

Ἄσχολοι μὲν πρῶτον οἱ ἄνθρωποι πρὸς τὰ ἔργα γίγνονται καὶ ἐπιμελοῦνται τοῦ ἀηδεστάτου, πραγμάτων

12 οὐδ'] ὧδε δ' (Diels praetulerit καὶ ἤδη) et mox τὸ γνωστὴν (h. e. φανερὰν) pro τοῦ γνωστὴν ('atque ita', scil. conterritos, 'post suavissimam somni vicem exspectare diem') si recte proponit Vitelli, facile carebimus vel Kiesslingii coniectura ἀνίστασθαι ‖ 16 εὐπροσδοκήτοις] sic.

ἀλλ' οὐκ ἔργων, τά τε χρήματα δι' ἀπιστίαν καὶ ἀμιξίαν ἀποθησαυρίζουσιν ἀλλ' οὐ κοινοῦνται, καὶ οὕτως σπάνια γίγνεται, ἐὰν καὶ πολλὰ ᾖ.

Αἵ τε τύχαι αἱ φλαῦραι καὶ αἱ ἀγαθαὶ εἰς τἀναντία ὑπηρετοῦσιν· ἥ τε γὰρ εὐτυχία οὐκ ἀσφαλής ἐστιν ἐν 127 A. τῇ ἀνομίᾳ ἀλλ' ἐπιβουλεύεται, ἥ τε δυστυχία οὐκ ἀπωθεῖται ἀλλὰ κρατύνεται διὰ τὴν ἀπιστίαν καὶ ἀμιξίαν.

Ὅ τε πόλεμος ἔξωθεν μᾶλλον ἐπάγεται καὶ ἡ οἰκεία στάσις ἀπὸ τῆς αὐτῆς αἰτίας, καὶ ἐὰν μὴ πρόσθεν γίγνηται, τότε συμβαίνει· ἔν τε πράγμασι συμβαίνει 302 K. καθεστάναι ἀεὶ διὰ ἐπιβουλὰς τὰς ἐξ ἀλλήλων, δι' ἅσπερ εὐλαβουμένους τε διατελεῖν καὶ ἀντεπιβουλεύοντας ἀλλήλοις.

Καὶ οὔτε ἐγρηγορόσιν ἡδείας τὰς φροντίδας εἶναι οὔτε ἐς τὸν ὕπνον ἀπερχομένοις ἡδεῖαν τὴν ὑποδοχὴν ἀλλὰ ἐνδείματον, τήν τε ἀνέγερσιν ἔμφοβον καὶ πτοοῦσαν τὸν ἄνθρωπον ἐπὶ μνήμας κακῶν ἐξαπιναίους ἄγειν· ἅπερ ἐκ τῆς ἀνομίας ταῦτά τε καὶ τὰ ἄλλα κακὰ τὰ προειρημένα ἅπαντα ἀποβαίνει.

Γίνεται δὲ καὶ ἡ τυραννίς, κακὸν τοσοῦτόν τε καὶ τοιοῦτον, οὐκ ἐξ ἄλλου τινὸς ἢ ἀνομίας. οἴονται δέ τινες τῶν ἀνθρώπων, ὅσοι μὴ ὀρθῶς συμβάλλονται, τύραννον ἐξ ἄλλου τινὸς καθίστασθαι καὶ τοὺς ἀνθρώπους στερίσκεσθαι τῆς ἐλευθερίας οὐκ αὐτοὺς αἰτίους ὄντας, ἀλλὰ βιασθέντας ὑπὸ τοῦ κατασταθέντος τυράννου, οὐκ ὀρθῶς ταῦτα λογιζόμενοι· ὅστις γὰρ 128 A. ἡγεῖται βασιλέα ἢ τύραννον ἐξ ἄλλου τινὸς γίγνεσθαι ἢ ἐξ ἀνομίας τε καὶ πλεονεξίας, μωρός ἐστιν. ἐπειδὰν 304 K. γὰρ ἅπαντες ἐπὶ κακίαν τράπωνται, τότε τοῦτο γίγνεται·

10 sq. πράγμασι et καθεστάναι Cobet: πράγματι et καθιστάναι.

οὐ γὰρ οἷόν τε ἀνθρώπους ἄνευ νόμων καὶ δίκης ζῆν. ὅταν οὖν ταῦτα τὰ δύο ἐκ τοῦ πλήθους ἐκλίπῃ, ὅ τε νόμος καὶ ἡ δίκη, τότε ἤδη εἰς ἕνα ἀποχωρεῖν τὴν ἐπιτροπίαν τούτων καὶ φυλακήν. πῶς γὰρ ἂν ἄλλως εἰς ἕνα μοναρχία περισταίη, εἰ μὴ τοῦ νόμου ἐξωσθέντος τοῦ τῷ πλήθει συμφέροντος; δεῖ γὰρ τὸν ἄνδρα τοῦτον, ὃς τὴν δίκην καταλύει καὶ τὸν νόμον τὸν πᾶσι κοινὸν καὶ συμφέροντα ἀφαιρήσεται, ἀδαμάντινον γενέσθαι, εἰ μέλλει συλήσειν ταῦτα παρὰ τοῦ πλήθους τῶν ἀνθρώπων εἷς ὢν παρὰ πολλῶν· σάρκινος δὲ καὶ ὅμοιος τοῖς λοιποῖς γενόμενος ταῦτα μὲν οὐκ ἂν δυνηθείη ποιῆσαι, τἀναντία δὲ ἐκλελοιπότα καθιστὰς μοναρχήσειεν ἄν· διὸ καὶ γιγνόμενον τοῦτο ἐνίους τῶν ἀνθρώπων λανθάνει. εἰ τοίνυν τοσούτων μὲν αἰτία κακῶν ἐστιν ἀνομία, τοσοῦτον δὲ ἀγαθὸν εὐνομία, οὐκ ἄλλως ἔνεστι τυχεῖν εὐδαιμονίας εἰ μή τις νόμον ἡγεμόνα προστήσαιτο τοῦ οἰκείου βίου. οὗτος δ' ἐστὶ λόγος ὀρθός, 129 A. προστάττων μὲν ἃ δεῖ ποιεῖν ἀπαγορεύων δὲ ἃ μὴ χρή, ἔν τε τῷ παντὶ κόσμῳ καὶ ἐν πόλεσι καὶ ἐν ἰδίοις οἴκοις καὶ αὐτῷ τινι ἑκάστῳ πρὸς ἑαυτόν. εἰ τοίνυν τὸν τοιοῦτον λόγον περὶ ἀγαθῶν καὶ κακῶν ὄντα καὶ καλῶν καὶ αἰσχρῶν οὐχ οἷόν τε ἄλλως μαθεῖν καὶ 306 K. γνόντα τελεώσασθαι, εἰ μή τις τελέως φιλοσοφήσειε, τούτων ἕνεκα φιλοσοφίαν ἀσκητέον πάντων μάλιστα τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων.

XXI. Τελευταῖον δὴ τρόπον εἰς προτροπὴν τίθεμεν τὸν ἀπὸ τῶν συμβόλων, τὸν μὲν ἴδιον ὄντα τῆς αἱρέ-

27. p. 105, 25 cf. p. 7, 18 sqq.

7 καταλύσει ci. K ‖ 12 συλῆσαι, τοὐναντίον? Vitelli ‖ 15 τοσούτων δὲ ἀγαθῶν ex Ciz. K ‖ 20 αὐτῷ] αὐτῶ ‖ 26 προτροπὴν coni. K: ἀποτροπὴν (similiter p. 16, 1 ἀποτρέπει apographa).

σεως καὶ ἀπόρρητον πρὸς τὰς ἄλλας ἀγωγάς, τὸν δὲ δημώδη καὶ κοινὸν πρὸς ἐκείνας, τρίτον δὲ παρ' ἀμφότερα μέσον ἀμφοῖν οὔτε παντάπασι δημώδη οὔτε μὴν ἄντικρυς Πυθαγορικόν, ἀλλ' οὐδὲ ἀπηλλαγμένον ὁλοσχερῶς ἑκατέρου. τῶν γὰρ λεγομένων Πυθαγορικῶν συμβόλων ὅσα ἂν ἀξιομνημόνευτα ἡμῖν φαίνηται καὶ τὸ προτρεπτικὸν εἶδος παραδεικνύῃ ἐκθέμενοι, διεγνώκαμεν ἐξήγησιν ποιήσασθαι τὴν πρέπουσαν αὐτῶν εἰς παράκλησιν, ἐκ τοῦ τοιούτου νομίζοντες πλήρη καὶ ἐντελεστέραν προτροπὴν εἰς φιλοσοφίαν ἐνήσειν τοῖς 130 A. ἐντευξομένοις μᾶλλον ἢ εἰ διὰ πλειόνων στίχων ποιοί- 308 K. μεθα τὴν προτροπήν. καθὸ μὲν οὖν ἐξωτερικάς τινας ἐπιλύσεις καὶ κοινὰς πάσης φιλοσοφίας ἐντάξομεν αὐτῷ, κατὰ τοῦτο ἡγητέον αὐτὸ κεχωρίσθαι Πυθαγορικοῦ βουλήματος, καθὸ δὲ καὶ τὰς τῶν ἀνδρῶν τούτων κυριωτάτας περὶ ἑκάστου δόξας ἐγκαταμίξομεν, κατὰ τοῦτο πάλιν οἰκεῖον μὲν Πυθαγορικῶν, ἀλλότριον δὲ τῶν ἄλλων φιλοσόφων καλῶς ἔχει τίθεσθαι αὐτό. λεληθότως δέ, ὡς εἰκός, ἀποπαιδαγωγήσει μὲν τοῦτο ἡμᾶς ἀπὸ τῶν ἐξωτερικῶν ἐννοιῶν, προσάξει δὲ καὶ οἰκειώσει μάλιστα ταῖς προκειμέναις καὶ κατὰ τήνδε τὴν αἵρεσιν τεχνολογουμέναις παρακλήσεσιν, οἷά τις γέφυρα ἢ κλῖμαξ κάτωθεν ἄνω καὶ εἰς ὕψος ἐκ βάθους ἀνιμῶσα πολλοῦ καὶ ἀνάγουσα τὴν ἑκάστου τῶν γνησίως προσεξόντων διάνοιαν· εἰς γὰρ τὸ τοιοῦτο καὶ ἐμηχανήθη κατὰ μίμησιν καὶ ἀπόμαξιν τῶν προλεχθέντων. οἱ γὰρ παλαιότατοι καὶ αὐτῷ συγχρονήσαντες καὶ

27. p. 106, 12 cf. Vit. Pyth. 104 sq. (p. 76, 5—77, 9 Nauck).

14 αὐτὸ Scaliger: αὐτῶ ‖ 27 συγχρονήσαντες hic codex: rectius συγχρονίσαντες Vit. Pyth. (cf. etiam supra p. 96, 5), at similiter (Iamblich.?) Theologum. Arithm. p. 41, 29 Ast συνεχρόνει.

μαθητεύσαντες τῷ Πυθαγόρᾳ οὐ τῇ κοινῇ καὶ δημώδει καὶ τοῖς ἄλλοις ἅπασιν εἰωθυίᾳ λέξει τε καὶ ἑρμηνείᾳ ἐποιοῦντο συνετὰ καὶ εὐνόητα τοῖς ἁπλῶς ἀκούουσιν 310 K. ἐξ ἐπιδρομῆς τε ἐντυγχάνουσιν, εὐπαρακολούθητα πειρώ- 131 A. μενοι τίθεσθαι τὰ φραζόμενα ὑπ' αὐτῶν, ἀλλὰ κατὰ τὴν νενομοθετημένην αὐτοῖς ὑπὸ Πυθαγόρου ἐχεμυθίαν μυστηρίων καὶ πρὸς τοὺς ἀτελεστέρους τρόπων ἀπορρήτων ἥπτοντο καὶ διὰ συμβόλων ἐπέσκεπον τὰς πρὸς ἀλλήλους διαλέξεις ἢ συγγραφάς. καὶ εἰ μή τις αὐτὰ τὰ σύμβολα ἐκλέξας διαπτύξειε καὶ ἀμώκῳ ἐξηγήσει περιλάβοι, γελοῖα ἂν καὶ γραώδη δόξειε τοῖς ἐντυγχάνουσι τὰ λεγόμενα λήρου μεστὰ καὶ ἀδολεσχίας. ἵν' οὖν ⟨τὰ⟩ ῥήματ' ἐκφανῆ καὶ τὸ εἰς προτροπὴν αὐτῶν ὄφελος κατάδηλον γένηται, κατὰ τὸ ἐξωτερικόν τε ἅμα καὶ κατὰ τὸ ἀκροατικὸν ἀποδώσομεν ἑκάστου συμβόλου τὰς ἐπιλύσεις, μηδὲ τὰ παρ' αὐτοῖς ἀπόρρητα καὶ ἐχεμυθούμενα πρὸς τοὺς ἀνεισάκτους παραλιπόντες ἀνεξέταστα. ἔστω δὲ τὰ φρασθησόμενα σύμβολα ταῦτα·

α'. Εἰς ἱερὸν ἀπιὼν προσκυνῆσαι μηδὲν ἄλλο μεταξὺ βιωτικὸν μήτε λέγε μήτε πράττε.

β'. Ὁδοῦ πάρεργον οὔτε εἰσιτέον εἰς ἱερὸν οὔτε 312 K. προσκυνητέον τοπαράπαν, οὐδ' εἰ πρὸς ταῖς θύραις 132 A. αὐταῖς παριὼν γένοιο.

γ'. Ἀνυπόδητος θῦε καὶ προσκύνει.

19 sqq. v. Goettling, Gesammte Abhandl. I 278 sqq. II 280 sqq. Mullach, Philos. gr. Fragm. I 504 sqq.

7 θείων μυστηρίων et ἀτελέστους Vit. Pyth. ‖ 9 ἀλλήλους et 11 δόξειε Vit. Pyth.: ἄλλους et δόξειαν ‖ 10 τὰ σύμβολα delet Nauck ‖ 13 ῥήματα Scaliger, τὰ addidit K: χρήματ': χρήσιμ' Rittershusius ad Porph. Vit. Pyth. p. 61 Kust. (224 Kiessl.) ‖ 15 immo ἀκροαματικὸν ‖ 21 εἰσιτέον p. 109, 10 et Vit. Pyth. p. 77, 15 Nk.: εἰσιτητέον ‖ 24 θύε constanter.

δ'. Τὰς λεωφόρους ὁδοὺς ἐκκλίνων διὰ τῶν ἀτραπῶν βάδιζε.

ε'. Μελανούρου ἀπέχου· χθονίων γάρ ἐστι θεῶν.

ϛ'. Γλώσσης πρὸ τῶν ἄλλων κράτει θεοῖς ἑπόμενος.

ζ'. Ἀνέμων πνεόντων τὴν ἠχὼ προσκύνει.

η'. Πῦρ μαχαίρῃ μὴ σκάλευε.

θ'. Ὀξίδα ἀπὸ σεαυτοῦ ἀπόστρεφε πᾶσαν.

ι'. Ἀνδρὶ ἐπανατιθεμένῳ μὲν φορτίον συνέπαιρε, μὴ συγκαθαίρει δὲ ἀποτιθεμένῳ.

ια'. Εἰς μὲν ὑπόδησιν τὸν δεξιὸν πόδα προπάρεχε, εἰς δὲ ποδόνιπτρον τὸν εὐώνυμον.

ιβ'. Περὶ Πυθαγορείων ἄνευ φωτὸς μὴ λάλει.

ιγ'. Ζυγὸν μὴ ὑπέρβαινε.

ιδ'. Ἀποδημῶν τῆς οἰκίας μὴ ἐπιστρέφου· Ἐρινύες γὰρ μετέρχονται.

ιε'. Πρὸς ἥλιον τετραμμένος μὴ οὔρει.

314 K. ιϛ'. Δᾳδίῳ θᾶκον μὴ ἀπόμασσε.

ιζ'. Ἀλεκτρυόνα τρέφε μὲν μὴ θῦε δέ· μήνῃ γὰρ καὶ ἡλίῳ καθιέρωται.

133 A. ιη'. Ἐπὶ χοίνικι μὴ καθέζου.

ιθ'. Γαμψώνυχον μηδὲν παράτρεφε.

κ'. Ἐν ὁδῷ μὴ σχίζε.

κα'. Χελιδόνα οἰκίᾳ μὴ δέχου.

κβ'. Δακτύλιον μὴ φόρει.

κγ'. Θεοῦ τύπον μὴ ἐπίγλυφε δακτυλίῳ.

κδ'. Παρὰ λύχνον μὴ ἐσοπτρίζου.

κε'. Περὶ θεῶν μηθὲν θαυμαστὸν ἀπίστει, μηδὲ περὶ θείων δογμάτων.

κϛ'. Ἀσχέτῳ γέλωτι μὴ ἔχεσθαι.

6 μαχαίρῃ (sic) etiam p. 112, 24 ‖ 10 ὑπόδησιν] cf. ad p. 114, 6 πάρεχε p. 114, 7 ‖ 20 χοίνικι p. 116, 26: χοίνικα ‖ 21 παράτρεφε p. 117, 7: παράτρεχε.

κζ'. Παρὰ θυσίᾳ μὴ ὀνυχίζου.
κη'. Δεξιὰν μὴ παντὶ ῥᾳδίως ἔμβαλλε.
κθ'. Στρωμάτων ἀναστὰς συνέλισσε αὐτὰ καὶ τὸν τύπον συνστόρνυε.
λ'. Καρδίαν μή τρῶγε.
λα'. Ἐγκέφαλον μὴ ἔσθιε.
λβ'. Ἀποκαρμάτων σῶν καὶ ἀπονυχισμάτων κατάπτυε. 316 K.
λγ'. Ἐρυθῖνον μὴ προσλαμβάνου.
λδ'. Χύτρας ἴχνος ἀπὸ σποδοῦ ἀφάνιζε.
λε'. Χρυσὸν ἐχούσῃ μὴ πλησίαζε ἐπὶ τεκνοποιίᾳ.
λϛ'. Προτίμα τὸ σχῆμα καὶ βῆμα τοῦ σχῆμα καὶ 134 A.
τριώβολον.
λζ'. Κυάμων ἀπέχου.
λη'. Μολόχην ἐπιφύτευε μέν, μὴ ἔσθιε δέ.
λθ'. Ἐμψύχων ἀπέχου.

Ταῦτα δὴ πάντα κοινῶς μὲν προτρεπτικά ἐστι 318 K.
πρὸς πᾶσαν ἀρετήν, κατ' ἰδίαν δὲ ἕκαστα πρὸς ἑκάστην ἀρετήν· πρὸς μέρη τε φιλοσοφίας καὶ μαθήσεως ἄλλα ἄλλως προσοικειοῖ, οἷον εὐθὺς τὰ πρῶτα εἰς εὐσέβειαν καὶ τὴν θείαν ἐπιστήμην ἐστὶ παρακλητικά.

α' Τὸ γὰρ εἰς ἱερὸν ἀπιόντα προσκυνῆσαι μηδὲν ἄλλο μεταξὺ βιωτικὸν μήτε λέγειν μήτε πράττειν τηρεῖ τὸ θεῖον ᾗπέρ ἐστι καθ' αὑτὸ ἀμιγὲς
ἄχραντον, τῷ τε καθαρῷ τὸ καθαρὸν ἐθίζει συνάπτειν 320 K.
καὶ ποιεῖ μηδὲν ἐφέλκεσθαι ἀπὸ τῶν ἀνθρωπίνων εἰς

1 θυσίᾳ p. 121, 26: θυσίαν ‖ 4 συστόρνυε hic et p. 122, 23 scr. K ‖ 8 ἐρυθρῖνον scr. K, at cf. p. 124, 10. Lobeck, Pathol. Prol. p. 207 sq. contra Vit. Pyth. 24, 109 (p. 80, 6 Nk.) codex habet ἐρυθρῖνον ‖ 11 sq. τοῦ σχήματος καὶ τριωβόλου perperam Mullach: cf. Nauck Vit. Pyth. p. 18, 11 sqq. (Goettl. op. c. p. 294 sqq.). Procl. in Eucl. p. 84 Friedl. ‖ 17 δὲ scripsit Vitelli: γὰρ ‖ 17 sq. πρὸς ἑκάστην ἀρετὴν καὶ πρὸς μέρη τῆς φιλοσοφίας perperam K ‖ 18 τὲ ‖ 21 marg. ἀνάπτυξις τῶν Πυθαγορικῶν συμβόλων.

τὴν θείαν θρησκείαν· πάντα γὰρ ἀλλότριά ἐστι καὶ ἐναντίως πρὸς αὐτὴν ἔχει. τὸ δ' αὐτὸ καὶ πρὸς ἐπι-
135 A. στήμην μεγάλα συμβάλλεται· οὐδὲν γὰρ δεῖ πρὸς τὴν θείαν ἐπιστήμην προσφέρειν τοιοῦτον, οἷόν ἐστιν ἀνθρώπινον διανόημα ἢ βιωτικῆς φροντίδος ἐχόμενον. οὐδὲν οὖν ἄλλο παρακελεύεται ἐν τούτοις ἢ τοὺς λόγους τοὺς ἱεροὺς καὶ τὰς θείας πράξεις μὴ συμμιγνύναι τοῖς ἀνθρωπίνοις ἀστάτοις ἤθεσι.

β' Τούτῳ δὲ συνῳδόν ἐστι καὶ τὸ ἑξῆς τὸ ὁδοῦ πάρεργον οὐκ εἰσιτέον εἰς ἱερὸν οὐδὲ προσκυνητέον τοπαράπαν, οὐδ' εἰ πρὸς ταῖς θύραις αὐταῖς παριὼν γένοιο. εἰ γὰρ ὁμοίῳ τὸ ὅμοιον φίλον τέ ἐστι καὶ προσήγορον, δῆλον ὅτι καὶ ἀρχηγικωτάτην οὐσίαν ἐχόντων τῶν θεῶν ἐν τοῖς ὅλοις,
322 K. προηγουμένην αὐτῶν δεῖ ποιεῖσθαι τὴν θεραπείαν· εἰ δ' ἄλλου τις ἕνεκα αὐτὴν ποιοῖτο, δεύτερον οὕτω θήσεται τὸ πάντων προηγούμενον καὶ ἀναστρέψει τὴν ὅλην τάξιν τῆς ὅλης θεραπείας τε καὶ γνώσεως. ἔτι γὰρ τὰ τίμια ἀγαθὰ οὐ δεῖ τῶν ἀνθρωπίνων χρησίμων ἐν ὑστέρᾳ μοίρᾳ τίθεσθαι, οὐδὲ ἐν τέλους μὲν τάξει τὰ ἡμέτερα, ἐν προσθήκης δὲ μέρει τὰ κρείττονα οὔτε ἔργα οὔτε διανοήματα.

136 A. Ἡ δ' ἐπὶ τὸ αὐτὸ προτροπὴ καὶ ἀπὸ τοῦ ἑξῆς
γ' γένοιτο ἄν· τὸ γὰρ ἀνυπόδητος θῦε καὶ προσκύνει ἓν μὲν σημαίνει τὸ δεῖν κοσμίως καὶ μετρίως καὶ μὴ ὑπερέχοντας τῆς ἐν τῇ γῇ τάξεως τοὺς θέοὺς θεραπεύειν καὶ τὴν ὑπὲρ αὐτῶν γνῶσιν ποιεῖσθαι, ἕτερον δὲ τὸ δεῖν δεσμῶν χωρὶς καὶ εὔλυτον ὄντα
324 K. τὴν θεραπείαν καὶ γνῶσιν τῶν θεῶν ποιεῖσθαι. ταῦτα δὲ οὐκ ἐπὶ τοῦ σώματος μόνου παραγγέλλει τὸ σύμ-

17 ἀνατρέψει AK.

βολον διαπράττεσθαι, ἀλλὰ καὶ ἐπὶ τῶν τῆς ψυχῆς
ἐνεργειῶν, ὡς μήτε ὑπὸ παθῶν αὐτὰς κατέχεσθαι μήτε
ὑπὸ τῆς τοῦ σώματος ἀσθενείας μήτε ὑπὸ τῆς περι-
πεφυκυίας ἔξωθεν ἡμῖν γενέσεως, εὔλυτα δὲ πάντα
ἔχειν καὶ ἕτοιμα πρὸς τὴν μετουσίαν τῶν θεῶν.

Καὶ ἄλλο δέ τι τούτοις ὅμοιον εἰς τὴν αὐτήν τε
κε' ἀρετὴν προτρέπον ἐστὶ τὸ τοιοῦτον σύμβολον· περὶ
θεῶν μηδὲν θαυμαστὸν ἀπίστει, μηδὲ περὶ
θείων δογμάτων. ἱκανῶς γὰρ τὸ δόγμα τοῦτο σεβα-
στικὸν ὑπάρχει καὶ ἐμφαντικὸν τῆς τῶν θεῶν ὑπερ-
οχῆς, ἐφοδιάζον ἡμᾶς καὶ ὑπομιμνῇσκον ὅτι οὐκ ἀπὸ
τῆς ἡμῶν αὐτῶν συγκρίσεως χρὴ τεκμαίρεσθαι καὶ τὴν 137 A.
θείαν δύναμιν, ἀλλ' ἡμῖν μὲν ἅτε σωματικοῖς ὑπάρ-
χουσι γενητοῖς τε καὶ φθαρτοῖς καὶ προσκαίροις, ὑπο-
κειμένοις τε νόσων ποικιλίᾳ καὶ ὄγκου μικρότητι καὶ
τῆς ἐπὶ τὸ μέσον φορᾶς τῇ βαρήσει καὶ ὑπνωδίᾳ καὶ 326 K.
ἐνδείᾳ καὶ πλεονασμῷ ἀβουλίᾳ τε •καὶ ἀσθενείᾳ καὶ
ψυχῆς παραποδισμῷ καὶ τοῖς ἄλλοις, εἰκὸς ἀμήχανά
τινα καὶ ἀδύνατα ὑπάρχειν. καίτοι πολλὰ οὕτω παρὰ
τῆς φύσεως ἔχομεν ἐξαίρετα, ἀλλ' ὅμως πάντῃ τῶν
θεῶν ἀπολειπόμεθα, καὶ οὔτε δύναμιν τὴν αὐτὴν οὔτε
ἀρετὴν ἴσην πρὸς αὐτοὺς ἔχομεν. γνῶσιν οὖν θεῶν
διαφερόντως τοῦτο εἰσηγεῖται, ὡς πάντα δυναμένων
αὐτῶν. διὰ τοῦτο δὴ οὖν περὶ θεῶν μηδὲν ἀπιστεῖν
παραγγέλλει. πρόσκειται δὲ μηδὲ περὶ θείων δογ-
μάτων, τῶν τῇ Πυθαγορικῇ φιλοσοφίᾳ δοκούντων·
ταῦτα γὰρ ὑπὸ μαθημάτων καὶ ἐπιστήμονος θεωρίας
ἠσφαλισμένα ἀληθῆ καὶ ἀδιάψευστα μόνα ὑπάρχει,

6 fortasse τούτους ⟨θ'⟩ ‖ 7 κε'] ita codex. cf. infra p. 121, 4 sqq. ‖ 10 ἐμφαντικὸν] sic (non ἐκφαντικὸν), cf. Vit. Pyth. 67 (p. 48, 2 Nk.) ‖ 14 γεννητοῖς.

ἀποδείξει παντοίᾳ καὶ συναναγκασμῷ ὠχυρωμένα. τὰ
δὲ αὐτὰ ταῦτα δύναται καὶ πρὸς τὴν ἐπιστήμην τὴν
περὶ θεῶν προτρέπειν· παραγγέλλει γὰρ ἐπιστήμην
τοιαύτην κτήσασθαι, δι' ἧς οὐδενὶ ἀπιστήσομεν τῶν
138 A. λεγομένων περὶ θεῶν καὶ περὶ θείων δογμάτων. δύνα-
ται παραινεῖν τὰ αὐτὰ καὶ τὸ διὰ μαθημάτων χωρεῖν·
328 K. ὀμματουργὰ γὰρ ταῦτα μόνα καὶ φωτοποιὰ περὶ τῶν
ὄντων ἁπάντων τῷ μέλλοντι σκέψεσθαι καὶ κατόψεσθαι
αὐτά. ἐκ γὰρ τοῦ μαθημάτων μετασχεῖν ἓν πρὸ πάν-
των συνίσταται, τὸ μὴ ἀπιστεῖν μήτε περὶ φύσεως
θεῶν μήτε περὶ οὐσίας μήτε περὶ δυνάμεως, μηδὲ μὴν
περὶ τῶν Πυθαγορικῶν δογμάτων τερατολογεῖσθαι δο-
κούντων τοῖς ἀνεισάκτοις καὶ μαθημάτων ἀμυήτοις·
ὥστε τὸ 'μὴ ἀπίστει' ἴσον ἐστὶ τῷ μετέρχου καὶ κτῶ
ἐκεῖνα δι' ἃ οὐκ ἀπιστήσεις, τουτέστι μαθήματα καὶ
ἐπιστημονικὰς ἀποδείξεις.

Οἶμαι δ' ὅτι καὶ τὸ ἐπὶ τούτοις εἰς τὸ αὐτὸ συν-
330 K. δ' τείνει· τὰς λεωφόρους ὁδοὺς ἐκκλίνων διὰ τῶν
ἀτραπῶν βάδιζε. καὶ γὰρ τοῦτο τὴν μὲν δημώδη
καὶ ἀνθρωπίνην ζωὴν ἀφιέναι παραγγέλλει, τὴν δὲ
χωριστὴν καὶ θείαν μεταδιώκειν ἀξιοῖ, καὶ τὰ μὲν
δοξάσματα τὰ κοινά φησι δεῖν ὑπερορᾶν, τὰ δὲ ἴδια
139 A. καὶ ἀπόρρητα περὶ πολλοῦ ποιεῖσθαι, καὶ τὴν μὲν
πρὸς ἀνθρώπους φέρουσαν τέρψιν ἀτιμάζειν, τὴν δὲ
τῆς θείας βουλήσεως ἐχομένην εὐπραγίαν περὶ πολλοῦ
ποιεῖσθαι, καὶ τὰ μὲν ἀνθρώπινα ἔθη ἐᾶν ὡς δημώδη,
τὰς δὲ τῶν θεῶν θρησκείας ὡς ὑπερεχούσας τὴν δη-
μώδη ζωὴν ἀνταλλάττεσθαι.

ε' Συγγενὲς δ' ἐστὶ τούτῳ καὶ τὸ ἐφεξῆς· μελαν-

4 ἧς] ἣν? cf. v. 15 et p. 121, 6 ‖ 24 ἀτιμάζειν A: ἀτιμάσειν.

οὔρου ἀπέχου· χθονίων γάρ ἐστι θεῶν. τὰ μὲν οὖν ἄλλα περὶ αὐτοῦ ἐν τῷ Περὶ συμβόλων ἐροῦμεν, ὅσα δὲ εἰς προτροπὴν ἁρμόζει, παραγγέλλει τῆς οὐρανίας πορείας ἀντέχεσθαι καὶ τοῖς νοεροῖς θεοῖς συνάπτεσθαι, τῆς τε ἐνύλου φύσεως χωρίζεσθαι καὶ 332 K. περιάγεσθαι πρὸς τὴν ἄυλον καὶ καθαρὰν ζωήν, θεῶν τε θεραπείᾳ χρῆσθαι τῇ ἀρίστῃ καὶ μάλιστα τοῖς πρωτίστοις θεοῖς προσηκούσῃ.

Ταῦτα μὲν οὖν εἰς θεῶν γνῶσιν καὶ θρησκείαν ποιεῖται τὴν παράκλησιν, εἰς δὲ σοφίαν τὰ τοιαῦτα·

ϛʹ Γλώσσης πρὸ τῶν ἄλλων κράτει θεοῖς ἑπόμενος. πρῶτον γάρ ἐστι σοφίας ἔργον τὸ τὸν λόγον ἐπιστρέφειν εἰς ἑαυτὸν καὶ ἐθίζειν μὴ ἔξω προϊέναι, τελεοῦσθαί τε καθ' ἑαυτὸν καὶ ἐν τῇ πρὸς ἑαυτὸν 140 A. ἐπιστροφῇ καὶ μετὰ τοῦτο ἐν τῷ τοῖς θεοῖς ἕπεσθαι· οὐδὲν γὰρ ἄλλο οὕτω τελειοῖ τὸν νοῦν ἢ ὅταν ἐπιστρεφόμενος εἰς ἑαυτὸν τοῖς θεοῖς συνακολουθῇ.

ζʹ Τὸ δὲ ἀνέμων πνεόντων τὴν ἠχὼ προσκύνει καὶ αὐτὸ τῆς θείας σοφίας ἐστὶ γνώρισμα· αἰνίττεται γὰρ ὡς δεῖ τῶν θείων οὐσιῶν καὶ δυνάμεων τὴν ὁμοιότητα ἀγαπᾶν, καὶ ὅταν ἐνεργῶσι, τὸν 334 K. σύμφωνον πρὸς τὰς ἐνεργείας αὐτῶν λόγον μετὰ μεγάλης σπουδῆς τιμᾶν τε καὶ σέβειν.

ηʹ Τὸ δὲ μαχαίρῃ πῦρ μὴ σκάλευε φρονήσεώς ἐστι παρακλητικόν· ἐγείρει γὰρ ἡμῖν τὴν ἔννοιαν τὴν προσήκουσαν περὶ τοῦ μὴ δεῖν πυρὸς πλήρει καὶ θυμοῦ ἀνθρώπῳ μήτε ἀντιτιθέναι λόγον τεθηγμένον μήτε ἐρίζειν. πολλάκις γὰρ κινήσεις τῷ λόγῳ τὸν ἀμαθῆ καὶ ταράξεις καὶ πείσῃ δεινὰ καὶ ἀηδῆ. μάρτυς τοῖς

20 καὶ δυνάμεων] κατὰ δύναμιν Mullach.

λεχθεῖσιν Ἡράκλειτος· θυμῷ γάρ φησι μάχεσθαι χαλεπόν· ὅ τι γὰρ ἂν χρηίζῃ γίγνεσθαι, ψυχῆς ὠνέεται. καὶ τοῦτο ἀληθῶς εἶπε· πολλοὶ γὰρ χαριζό- 141 A. μενοι θυμῷ ἀντηλλάξαντο τὴν ἑαυτῶν ψυχὴν καὶ θάνατον φίλτερον ἐποιήσαντο. ἐκ δὲ τοῦ γλώσσης κρατεῖν καὶ εἶναι ἠρεμαῖον ἐκ μὲν νείκους γίγνεται φιλία σβεννυμένου πυρὸς θυμικοῦ, καὶ αὐτὸς οὐκ ἄφρων εἶναι δόξεις.

θʹ Τούτῳ δὲ συμμαρτυρεῖ καὶ τὸ ἑξῆς· τὴν ὀξίδα 336 K. ἀποστρέφειν ἀπὸ σαυτοῦ· πρὸς ὃν γὰρ ἂν τύχῃ ἐπεστραμμένη, ἐπίληπτος ἔσται. καὶ τοῦτο φρονήσει χρῆσθαι παρακελεύεται καὶ μὴ θυμῷ. τὸ μὲν γὰρ ὀξὺ τῆς ψυχῆς, ὅπερ θυμὸν καλοῦμεν, λογισμοῦ καὶ φρονήσεως ἐστέρηται (ζεῖ γὰρ ὁ θυμὸς ὥσπερ λέβης πυρὶ θαλπόμενος), οὐθὲν εἰς τὸ πρόσθεν γιγνόμενον μερίζων † γνώμη. χρὴ οὖν ἐν νηνεμίᾳ καθιστάναι τὴν ψυχὴν ἀποστρέφοντα [τὴν ψυχὴν] τοῦ θυμοῦ, ἐπιλαμβανόμενον ἑαυτοῦ πολλάκις· ὥσπερ <γὰρ> ἠχοῦντα χαλκὸν ἁφῇ, καὶ τὸ πάθος οὖν τοῦτο τῷ λογισμῷ πιέζειν χρή.

ιʹ Τὸ δὲ φορτίον συναινατιθέναι, συγκαθαιρεῖν δὲ μή, εἰς ἀνδρείαν προτρέπει. πᾶς μὲν γὰρ ἀνατιθέμενος φορτίον πόνου καὶ ἐνεργείας σημαίνεται πρᾶξιν, ὁ δὲ καθαιρούμενος ἀναπαύσεως καὶ ἀνέσεως, 142 A. ὥστε καὶ τὸ σύμβολον τοιόνδε ἔχει ἐπιλογισμόν· μὴ 338 K. γίγνου μήτε αὐτῷ μήτε ἄλλῳ ῥαθυμίας καὶ μαλθακῆς διαίτης αἴτιος· πόνῳ γὰρ πᾶν χρῆμα ἁλώσιμον. Ἡράκλειον δὲ οἱ Πυθαγόρειοι ἐφήμιζον τόδε τὸ σύμβολον

1 Ἡράκλειτος] Fr. 105 p. 41 Byw.

2 χρήζῃ ‖ 3 ὠνέεται Vulcanius: ὀνέεται ‖ 15 γνωμην A: 'aliquando lusi ἐπειγόμενον μετριάζον γνώμῃ' Vitelli ‖ 16 τὴν ψυχὴν delevi ‖ 17 γὰρ addidit Vitelli, qui v. 21 σημαίνει τὴν scripserit ‖ 20 αν$^{δρ'}$ addito αν compendiose ‖ 24 σαυτῷ vel σεαυτῷ Rittershusius ad Porph. Vit. Pyth. p. 65 Kuster.

εἶναι αὐτοῖς, ἐπισφραγιζόμενοι ἀπὸ τῶν ἐκείνου ἔργων.
ὅτε γὰρ ὡμίλει κατ' ἀνθρώπους, πολλάκις ἐκ πυρὸς καὶ
πάντων τῶν δεινοτάτων ἀπενόστει ὄκνον παραιτού-
μενος· ἐκ γὰρ τοῦ πράττειν καὶ ἐργάζεσθαι τὸ κατορ-
θοῦν παραγίγνεται, ἀλλ' οὐκ ἐκ τοῦ ἀποκνεῖν.

ια′ Τὸ δὲ εἰς μὲν ὑπόδησιν τὸν δεξιὸν πόδα
πάρεχε, εἰς δὲ ποδόνιπτρον τὸν εὐώνυμον εἰς
τὴν πρακτικὴν φρόνησιν παρακαλεῖ, τὰς μὲν σπου-
δαίας πράξεις ὡς δεξιὰς περιτίθεσθαι παραγγέλλον [τὸ
σύμβολον], τὰς δὲ φαύλας ὡς ἀριστερὰς ἀποτίθεσθαι
παντάπασι καὶ ἀπορρύπτεσθαι.

ιβ′ Μάλιστα δὲ τὸ περὶ Πυθαγορείων ἄνευ φω-
τὸς μὴ λάλει παρακλητικόν ἐστιν εἰς τὸν κατὰ φρό- 340 K.
νησιν νοῦν. οὗτος γὰρ τῷ φωτὶ ἔοικε τῆς ψυχῆς καὶ
ἀόριστον οὖσαν αὐτὴν ὁρίζει, περιάγει τε ὥσπερ ἐκ
σκότου εἰς φῶς. περὶ πάντων μὲν οὖν τῶν ἐν τῇ ζωῇ 143 A.
καλῶν ἡγεμόνα νοῦν προΐστασθαι προσήκει, μάλιστα
μὲν οὖν περὶ τῶν Πυθαγορείων δογμάτων· ταῦτα γὰρ
ἄνευ φωτὸς οὐχ οἷόν τέ ἐστι γνῶναι.

ιγ′ Τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν δικαιοπραγεῖν
παρακελεύεται καὶ προτιμᾶν ἰσότητα καὶ μετριότητα
θαυμαστῶς καὶ τὴν τελειοτάτην ἀρετὴν γιγνώσκειν δι-
καιοσύνην, ἧς συμπληρωτικαὶ αἱ λοιπαὶ καὶ ἧς ἄνευ
τῶν ἄλλων οὐδὲν ὄφελος· καὶ οὐ παρέργως αὐτὴν εἰδέναι
χρή, ἀλλὰ διὰ θεωρημάτων καὶ ἐπιστημονικῆς ἀποδεί-
ξεως. τοῦτο δὲ οὐδεμιᾶς ἄλλης ἔργον ἐστὶ τέχνης εἰδέναι
καὶ ἐπιστήμης πλὴν μόνης φιλοσοφίας τῆς κατὰ Πυθα-
γόραν, ἥτις ἐξαιρέτως τῶν ἄλλων τὰ μαθήματα προτιμᾷ.

ιδ′ Εἰς ταὐτὸ δὲ φέρει καὶ τὸ ἀποδημῶν τῆς οἰκίας

6 immo ὑπόδεσιν hic et p. 107, 10 (cf. Nauck ad Iambl. Vit. Pyth. p. 233 sq.) ‖ 9 sq. τὸ σύμβολον delevi ‖ 18 μὲν οὖν] fort. δὲ.

342 K. μὴ ἐπιστρέφου· Ἐρινύες γὰρ μετέρχονται. καὶ
γὰρ τοῦτο εἰς φιλοσοφίαν προτρέπει καὶ τὴν κατὰ
νοῦν αὐτοπραγίαν. δηλοῖ τε καὶ προλέγει τὸ σύμβολον
ἐναργῶς ὅτι φιλοσοφεῖν ἐπιβαλλόμενος χώριζε σαυτὸν
144 A. πάντων σωματικῶν καὶ αἰσθητῶν, καὶ ὄντως θανάτου
μελέτην ποιοῦ ἐπὶ τὰ νοητὰ καὶ ἄυλα καὶ ἀεὶ κατὰ
ταὐτὰ καὶ ὡσαύτως ἔχοντα ἀμεταστρεπτὶ χωρῶν διὰ τῶν
προσηκόντων μαθημάτων. ἀποδημία μὲν γὰρ μετά-
στασις τόπου, θάνατος δὲ ὁ τῆς ψυχῆς χωρισμὸς ἀπὸ
τοῦ σώματος, οὗτος δὲ τὸ φιλοσοφεῖν ὡς ἀληθῶς καὶ
ἄνευ αἰσθητηρίων καὶ σωματικῶν ἐνεργειῶν καθαρῷ
τῷ νῷ χρῆσθαι εἰς κατάληψιν τῆς ἐν τοῖς οὖσιν ἀλη-
θείας, ἥπερ ἐπέγνωσται σοφία οὖσα. φιλοσοφεῖν δὴ
ἐπιβαλλόμενος μὴ ἐπιστρέφου μηδὲ καθέλκου πρὸς τὰ
πρότερα καὶ ἐν συντροφίᾳ σοι διατελέσαντα σωματικά·
μετάνοια γὰρ ἐκ τούτου πολλή σοι παρέψεται ἐμποδι-
ζομένῳ εἰς τὰς ὑγιεῖς καταλήψεις ὑπὸ τῆς περὶ τὰ σω-
ματικὰ ἀχλύος. τὴν δὲ μετάνοιαν Ἐρινὺν μετωνόμασε.

ιε′
344 K. Τὸ δὲ πρὸς ἥλιον τετραμμένος μὴ οὔρει
ἐκεῖνο προτρέπει· μηδὲν ζῳῶδες ἐπιβάλλου ποιεῖν,
φιλοσόφει δὲ τὸν οὐρανὸν ὁρῶν καὶ τὸν ἥλιον, φῶς
τέ σοι τῆς ἀληθείας ἡγείσθω, καὶ μηδέποτε μέμνησο
ταπεινόφρων εἶναι ἐν φιλοσοφίᾳ, ἐπὶ θεοὺς δὲ καὶ
145 A. σοφίαν διὰ τῆς τῶν οὐρανίων ἐπισκέψεως ἀνέρχου, καὶ
φιλοσοφίᾳ ἐπιβαλλόμενος καὶ τῷ ἐν αὐτῇ φωτὶ τῆς
ἀληθείας καθαίρων σεαυτὸν καὶ τραπεὶς ἐπὶ τὴν τοιαύ-
την ἐπιτήδευσιν θεολογίαν τε καὶ φυσιολογίαν καὶ
σφαιρικῶν ἐπίγνωσιν αἰτιολογίαν τε τὴν ὑπὲρ πάντα
ταῦτα μηκέτι ζῳῶδές τι ποίει μηδὲ βοσκηματῶδες.

5 καὶ οὕτως K ex apogr. Ciz. ‖ 20 fort. <εἰς> ἐκεῖνο ‖ 24 ἐπισκέψεως A: ἐπισκήψεως.

ιϛ' Τὸ δὲ αὐτὸ παραγγέλλει καὶ ⟨τὸ⟩ δᾳδίῳ θᾶκον μὴ ἀπόμασσε. οὐ γὰρ μόνον ἐπεὶ καθαρτικὸν τὸ δᾳδίον τῷ ταχίστου καὶ πλείστου μεθεκτικὸν εἶναι 346 K. πυρός, ὥσπερ τὸ λεγόμενον θεῖον, παραινεῖ μὴ μιαίνειν αὐτὸ φύσει μιασμῶν ἀποσοβητικὸν ὑπάρχον, μηδ' ἀντιμάχεσθαι τῇ φυσικῇ ἐπιτηδειότητι αὐτοῦ μολύνοντα τὸ μολυσμῶν κωλυτικόν, ἀλλὰ μᾶλλον μὴ μίσγειν μηδὲ κατακιρνᾶν τὰ σοφίας ἴδια τοῖς τῆς ζῳωδίας· δᾳδίον μὲν γὰρ διὰ τὴν εὐφέγγειαν φιλοσοφίᾳ παραβέβληται, θᾶκος δὲ διὰ τὴν χαμαιπέτειαν ζῳωδίᾳ.

ιζ' Τὸ δὲ ἀλεκτρυόνα τρέφε μέν, μὴ θῦε δέ· 146 A. μήνῃ γὰρ καὶ ἡλίῳ καθιέρωται συμβουλεύει ἡμῖν ὑποτρέφειν καὶ σωματοποιεῖν καὶ μὴ παρορᾶν ἀπολλύμενα καὶ διαφθειρόμενα τὰ τῆς τοῦ κόσμου ἑνώσεως καὶ ἀλληλουχίας συμπαθείας τε καὶ συμπνοίας μεγάλα τεκμήρια. ὥστε προτρέπει τῆς τοῦ παντὸς θεωρίας καὶ φιλοσοφίας ἀντιλαμβάνεσθαι. ἐπεὶ γὰρ ἀπόκρυφος φύσει ἡ περὶ τοῦ παντὸς ἀλήθεια, καὶ δυσθήρατος ἱκανῶς· ζητητέα δὲ ὅμως ἀνθρώπῳ καὶ ἐξιχνευτέα μάλιστα διὰ φιλοσοφίας. διὰ γὰρ ἄλλου τινὸς ἐπιτηδεύματος οὕτως ἀδύνατον· αὕτη δὲ μικρά τινα ἐναύσματα παρὰ 348 K. τῆς φύσεως λαμβάνουσα καὶ ὡσανεὶ ἐφοδιαζομένη ζωπυρεῖ τε αὐτὰ καὶ μεγεθύνει καὶ ἐνεργέστερα διὰ τῶν παρ' αὐτῆς μαθημάτων ἀπεργάζεται. φιλοσοφητέον ⟨ἄρα⟩ ἂν εἴη.

ιη' Τὸ δὲ ἐπὶ χοίνικι μὴ καθέζου Πυθαγορικώτερον ἐκδέξαιτ' ἄν τις ἐκ τῶν αὐτῶν τοῖς ἄνωθεν ὁρμώ-

1 τὸ addidit K ‖ 3 τάχιστον ex apogr. Ciz. K ‖ 8 ζωωδίας Scaliger: ξυνωδίας ‖ 13 ἐπιτρέφειν et περιορᾶν (cf. Cobet Obs. ad Dionys. Hal. p. 13) requirit Vitelli ‖ 21 ὄντως et 23 ἐναργέστερα A ‖ 25 ἄρα addidit K.

147 A. μενος. ἐπεὶ γὰρ σωματότητι καὶ ζῳωδίᾳ καὶ οὐ χοίνικι μετρητή ἐστιν ἡ τροφή, μὴ ἠρέμει μηδ' ἀμύητος φιλοσοφίας διατέλει, ἀλλ' εἰς ταύτην σαυτὸν δοὺς ἐκείνου μᾶλλον προνοοῦ τοῦ ἐν σοὶ θεοειδεστέρου, ὅ ἐστι ψυχή, καὶ πολὺ πρότερον τοῦ ἐν ταύτῃ νοῦ, ὧν τροφὴ οὐ χοίνικι ἀλλὰ θεωρίᾳ καὶ μαθήσει μετρεῖται.

ιθ' Τὸ δὲ γαμψώνυχον μηδὲν παράτρεφε Πυθαγορικώτερον συμβουλεύει· κοινωνικὸς ἴσθι, μεταδο- 350 K. τικός, καὶ τοὺς ἄλλους τοιούτους εἶναι παρασκεύαζε, διδόναι τι καὶ δέχεσθαι ἀκακοήθως καὶ ἀφθόνως ἐθίζων, ἀλλὰ μὴ πάντα μὲν λαμβάνειν ἀπλήστως, διδόναι δὲ μηδέν. ἡ γὰρ τῶν γαμψωνύχων φυσικὴ διοργάνωσις λαβεῖν μὲν τάχιστα καὶ ῥᾳδίως δεδημιούργηται, ἀφεῖναι δὲ ἢ μεταδοῦναι οὐκέτι διὰ τὴν ἔνστασιν ἀγκύλων ὄντων τῶν ὀνύχων, ὃν τρόπον καὶ αἱ κρεάγραι πεφύκασιν ἐπισπᾶσθαι μὲν τάχιστα, ἀφιέναι δὲ δυσχερῶς, εἰ μή τις ἄρα ὑπερεπικλίνῃ αὐτὰς ἀναστρέφων. προσαρτηθεισῶν δὴ ἡμῖν ὑπὸ τῆς φύσεως τῶν χειρῶν, ἵνα δι' αὐτῶν διδῶμέν τε καὶ δεχώμεθα κατὰ τὸν 148 A. κοινωνικὸν λόγον, καὶ τῶν δακτύλων ἁπλῶν πως καὶ οὐκ ἀγκύλων αὐταῖς προσπεφυκότων, οὐ μιμητέον ἐν τοῖς τοιούτοις τὰ γαμψώνυχα ἑτέρῳ τρόπῳ δημιουργηθέντα ὑπὸ τοῦ πλάσαντος, ἀλλὰ μᾶλλον κοινωνητέον ἀλλήλοις καὶ μεταληπτέον, προτρεπομένους εἰς τὸ τοιοῦτον ὑπ' αὐτῶν τῶν τὰ ὀνόματα τιθεμένων, οἳ τὴν δεξιὰν τῶν χειρῶν ἐντιμοτέραν ὠνόμασαν οὐ μόνον ἀπὸ τοῦ δέχεσθαι, ἀλλὰ καὶ ἀπὸ τοῦ δεκτὴν ὑπάρχειν ἐν τῷ μεταδιδόναι. δικαιοπραγητέον ἄρα, διὰ δὲ τοῦτο

4 θεοειδεστάτου Rittershusius ad Porph. Vit. Pyth. p. 63 Kuster: cf. supra p. 15, 14 et 36, 11 ‖ 8 ⟨καὶ⟩ μεταδοτικός A ‖ 28 τοῦτο ex apogr. Paris. K: τοῦ (= τούτου).

φιλοσοφητέον· ἀμοιβὴ γάρ τις καὶ ἀνταπόδοσις ἡ δικαιοσύνη, τὸ πλεονάζον καὶ ἐλλιπὲς ἀνταποδιδοῦσα δι' ἀντισώσεως.

κ' Τὸ δὲ ἐν ὁδῷ μὴ σχίζε δηλοῖ ὅτι ἓν μὲν τὸ 352 K. ἀληθές, πολυσχιδὲς δὲ τὸ ψεῦδος· δῆλον δὲ ἐκ τοῦ τὸ μέν τι ἕκαστον μοναχῶς λέγεσθαι εἴπερ ὑγιῶς λέγοιτο, τὸ δέ τι οὐχὶ ἕκαστον ἀπείροις τρόποις. ὁδὸς δὴ ἡ φιλοσοφία δοκεῖ εἶναι. λέγει οὖν ὅτι αἱροῦ φιλοσοφίαν ἐκείνην καὶ τὴν ἐπὶ σοφίαν ὁδόν, ἐν ᾗ οὐ σχίσεις οὐδὲ ἀντιλεγόμενα δογματίσεις, ἀλλὰ ἑστῶτα καὶ τὰ αὐτὰ ἑαυτοῖς ἀποδείξει ἐπιστημονικῇ βεβαιωθέντα διὰ μαθημάτων καὶ θεωρίας, ὅ ἐστι Πυθαγορικῶς φιλοσόφει. δύναται δὲ καί, — ἐπειδὴ ἡ διὰ τῶν 149 A. σωματικῶν καὶ αἰσθητῶν χωροῦσα φιλοσοφία, ᾗ οἱ νεώτεροι κατακόρως χρῶνται καὶ τὸν θεὸν καὶ τὰς ποιότητας καὶ τὴν ψυχὴν καὶ τὰς ἀρετὰς καὶ ἁπλῶς πάντα τὰ ἐν τοῖς οὖσιν αἴτια κυριώτατα νομίζοντες σῶμα εἶναι, εὐολίσθητός ἐστι καὶ εὐανάτρεπτος, ὡς δηλοῦσιν αἱ τῶν δοκούντων τι λέγειν περὶ αὐτῆς ποικιλώταται ἐπιχειρήσεις· ἡ δὲ ⟨διὰ⟩ τῶν ἀσωμάτων καὶ νοητῶν ἀύλων τε καὶ ἀιδίων τὴν προχώρησιν ποιουμένη, 354 K. τῶν τε ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων καὶ οὐδέποτε ὅσον ἐπ' αὐτοῖς φθορὰν ἢ μεταβολὴν ἐπιδεχομένων, ὁμοία τοῖς ὑποκειμένοις ἀδιάπτωτός ἐστι καὶ εὐσταθής, ἑδραίας καὶ ἀκλινοῦς ἀποδείξεως δημιουργός, — συμβουλεύει τοίνυν ἡμῖν τὸ παράγγελμα, ἐπειδὰν φιλοσοφῶμεν καὶ τὴν δηλουμένην ὁδὸν ἀνύωμεν, φεύγειν μὲν τὴν τῶν σωματικῶν καὶ πολυσχιδῶν ἐπιβολὴν καὶ ἀποδοχήν, προσοικειοῦσθαι δὲ τῇ τῶν

10 σχίσεις Vulcanius: σχίσις ‖ 20 διὰ addidit K.

ἀσωμάτων οὐσίᾳ τῇ οὐκ ἔστιν ὅτε οὐχὶ ἑαυτοῖς ὁμοίων διατελούντων διὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς φύσει ἀλήθειαν καὶ ἀδιαπτωσίαν.

κα' 150 A. Τὸ δὲ χελιδόνα οἰκίᾳ μὴ δέχου συμβουλεύει· ῥᾴθυμον καὶ μὴ διηνεκῶς φιλοπονοῦντα μηδὲ ἐπίμονον αἱρετιστὴν καὶ γνώριμον εἰς τὰ σὰ δόγματα μὴ ἐπιδέχου, δεόμενα συνεχοῦς καὶ εὐτονωτάτης προσοχῆς καὶ φερεπονίας διὰ τὴν τῶν ἐν αὐτοῖς ποικίλων 356 K. μαθημάτων ἐξαλλαγὴν καὶ περιπλέκειαν. εἰκόνι δὲ ῥᾳθυμίας καὶ ἐγκοπῆς χρόνων χελιδόνι κέχρηται, ὅτι μέρος τι τοῦ ἐνιαυτοῦ αὕτη ἐπιφοιτᾷ ἡμῖν καὶ ὡσανεὶ ἐπιξενοῦται πρὸς βραχὺν καιρόν, τὸ δὲ πλεῖον ἀφίσταται καὶ ἀφανὴς ἡμῖν ὑπάρχει.

κβ' Τὸ δὲ δακτύλιον μὴ φόρει ἀκολούθως τῷ Πυθαγορικῷ ἀρέσκοντι ἕλκομεν εἰς τὴν παράκλησιν οὕτως· ἐπεὶ δεσμοῦ τρόπῳ περίκειται τοῖς φοροῦσιν ὁ δακτύλιος, ἴδιον ἔχων τὸ μὴ ἄγχειν μηδὲ κακουχεῖν ἀλλά πως ἁρμόζειν καὶ προσφυῶς ἔχειν, δεσμὸς δὲ τοιοῦτός τις καὶ τὸ σῶμα τῇ ψυχῇ ὑπάρχει, τὸ οὖν δακτύλιον μὴ φόρει φιλοσόφει φησὶν ὡς ἀληθῶς 151 A. καὶ χώριζε τοῦ περικειμένου δεσμοῦ τὴν ψυχήν· μελέτη γὰρ θανάτου καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος ἡ φιλοσοφία. τὴν ἄρα Πυθαγορικὴν μέτιθι σπουδῇ μεγάλῃ, τὴν ἀφιστᾶσαν ἑαυτὴν διὰ τοῦ νοῦ ἀπὸ σωματικῶν πάντων καὶ περὶ τὰ νοητὰ καὶ ἄυλα διὰ τῶν θεωρητικῶν μαθημάτων καταγιγνομένην· ἀλλὰ καὶ ἀπόλυε σαυτοῦ τὰ ἁμαρτήματα καὶ ἀνθολκὰ καὶ κωλυσιεργὰ 358 K. τοῦ φιλοσοφεῖν σαρκὸς ἀσχολήματα τροφάς τε ὑπερβαλλούσας καὶ πληθώρας ἀκαίρους, δεσμοῦ τρόπον τὸ

1 τῇ ⟨τῶν⟩ οὐκ K ‖ 27 ἀνθουλκά.

*σῶμα καταλαμβανούσας νοσοκομίας τε καὶ ἀσχολίας
ἀδιαλείπτους ἐμποιούσας.*

κγʹ *Τὸ δὲ θεοῦ τύπον μὴ ἐπίγλυφε δακτυλίῳ
κατὰ τὴν προλεχθεῖσαν ἔννοιαν προτροπῇ χρῆται τοιᾷδε·
φιλοσόφει καὶ ἀσωμάτους πρὸ παντὸς ἡγοῦ θεοὺς ὑπάρ-
χειν· τὸ γὰρ κυριώτατον ῥίζωμα τῶν Πυθαγορικῶν
δογμάτων τοῦτʼ ἐστίν, ἐξ οὗ τὰ πάντα σχεδὸν ἤρτη-
ται καὶ ὑφʼ οὗ μέχρι τέλους κρατύνεται· μὴ νόμιζε
δὲ μορφαῖς αὐτοὺς κεχρῆσθαι ὅσαι εἰσὶ σωματικαί,
μηδὲ προσδεδέσθαι ὑποστάσει ὑλικῇ καὶ οἷον δεσμῷ
ὑλικῷ σώματι, ὥσπερ τὰ ἄλλα ζῷα. αἱ δὲ ἐπὶ δακτυ-
λίοις γλυφαὶ τόν τε δεσμὸν διʼ αὐτοῦ τοῦ δακτυλίου
ἐμφαίνουσι καὶ τὴν σωματότητα τό τε αἰσθητὸν εἶδος* 152 A.
*καὶ ὡσανεί τινος τῶν ἐπὶ μέρους ζῴων διὰ τῆς γλυπ-
τῆς προσόψεως, ἧς χωριστέον μάλιστα τὸ τῶν θεῶν
γένος ὡς ἀίδιόν τε καὶ νοητὸν καὶ κατὰ τὰ αὐτὰ καὶ
ὡσαύτως ἀεὶ ἔχον, ὡς ἐν τῷ Περὶ θεοῦ ἰδίως καὶ* 360 K.
πληρέστατα τεχνολογεῖται.

κδʹ *Τὸ δὲ παρὰ λύχνον μὴ ἐσοπτρίζου Πυθαγορι-
κώτερον συμβουλεύει τὸ φιλοσόφει μὴ προστρέχων μὴ
ταῖς κατʼ αἴσθησιν φαντασίαις, αἵτινες φῶς μέν τι
περὶ τὰς καταλήψεις ποιοῦσι, λυχνοειδὲς μέντοι καὶ
οὐχὶ φυσικὸν οὐδὲ ἀληθές, ἀλλὰ μᾶλλον ταῖς κατὰ τὸ
νοητικὸν ἐπιστημονικαῖς, ἀφʼ ὧν λαμπροτάτη τις εὐαυ-
γία καὶ ἀδιάπταιστος περὶ τὸ τῆς ψυχῆς ὄμμα συνίστα-
ται *** ἐξ ἁπάντων τῶν νοημάτων καὶ τῆς περὶ ταῦτα
θεωρίας, ἀλλʼ οὐκ ἐκ τῶν σωματικῶν καὶ αἰσθητῶν·
ἐν συνεχεῖ γὰρ ταῦτα ῥύσει καὶ μεταβολῇ πολλάκις*

10 *προσδεδέσθαι* Vitelli: *προσδέχεσθαι* ‖ 14 *ὡς ἂν εἴ* ‖ 20 alterum *μὴ* delendum ‖ 24 *λαπρό*$^{τε'}$ (h. e. proparoxyton.) ‖ 26 lacunam signavi.

ἐδηλώθη κατʼ οὐδένα τρόπον μόνιμα καὶ τὰ αὐτὰ ἑαυ-
153 A. *τοῖς ὑπάρχοντα, ἵνα καὶ βεβαίαν ἐπιστημονικήν τε
ὑπομείνῃ κατάληψιν καὶ ἐπίγνωσιν ὡς ἐκεῖνα.*

κεʹ *Τὸ δὲ περὶ θεῶν μηδὲν θαυμαστὸν ἀπίστει*
362 K. *μηδὲ περὶ θείων δογμάτων προτρέπει μετιέναι καὶ
κτᾶσθαι ἐκεῖνα τὰ μαθήματα, διʼ ἃ οὐκ ἀπιστήσεις
οὐκέτι περὶ θεῶν καὶ περὶ θείων δογμάτων ἔχων τὰ
μαθήματα καὶ τὰς ἐπιστημονικὰς ἀποδείξεις.*

κϛʹ *Τὸ δὲ ἀσχέτῳ γέλωτι μὴ ἔχεσθαι δηλοῖ κρα-
τεῖν τῶν παθῶν διὰ λόγου φιλοσόφου ἐπέχειν τε τὸ
εὐμετάβλητον καὶ οὐ μόνιμον τῶν ἀνθρωπίνων παθῶν·
ὑπομίμνῃσκε δὲ σαυτὸν τοῦ ὀρθοῦ λόγου, μήτε ἄρα
εὐτυχίαις ἐπιχαυνοῦ μήτε συμφοραῖς συνταπεινοῦ ἐν
οὐθετέρῳ μεταβολῆς ἔννοιαν ὑπολογιζόμενος. τὸν δὲ
γέλωτα ὑπὲρ πάντων τῶν παθῶν ὠνόμασεν, ὅτι μόνος
μάλιστα ἐκφανῶς μηνύεται, ὥσπερ τι ἐπάνθημα ὑπάρ-
χων καὶ ἐπίφλεγμα μέχρι προσώπου τῆς διαθέσεως.
ἴσως δὲ [παραγγέλλει], ἐπειδὴ ἀνθρώπου ἴδιον παρὰ τὰ
ἄλλα ζῷα οὗτος (ὁρίζονται γοῦν τινες ζῷον αὐτὸ γελα-
στικὸν εἶναι), δηλοῦται ὑπὸ τοῦ παραγγέλματος τὸ μὴ*
154 A. *ἐπιμόνως καὶ ἀμεταβλήτως τῇ ἀνθρωπότητι ἔμμενε,*
364 K. *ἀλλὰ μίμησιν θεοῦ κατὰ τὸ δυνατὸν κτῶ φιλοσοφῶν
καὶ τοῦ ἰδιώματος τούτου τῶν ἀνθρώπων ὑπεκχωρῶν
προκρίνων τε τὸ λογικὸν τοῦ γελαστικοῦ εἰς διάκρισιν
καὶ διαφορὰν πρὸς τὰ λοιπὰ ζῷα.*

κζʹ *Τὸ δὲ παρὰ θυσίᾳ μὴ ὀνυχίζου περὶ φιλίας
ἐστὶ προτρεπτικόν· τῶν γὰρ οἰκείων καὶ προσηκόντων*

4—8 *Τὸ δὲ — ἀποδείξεις*] 'Per auctoris nostri negligentiam factum videtur ut quae supra [p. 110, 6 sqq.] copiosius sunt explicata hic brevissimis repetantur' adnotat K: equidem deleverim ‖ 7 *ἔχων*] fort. *ἤγουν*; cf. p. 111, 15 ‖ 18 *παραγγέλλει* delevit Scaliger ‖ 19 *αὐτὸν* emendat K.

ἡμῖν ἐξ αἵματος οἱ μὲν ἔγγιστα γένους εἰσὶν ἀδελφοὶ καὶ τέκνα καὶ γονεῖς, ἐοικότες τοῖς μέρεσιν ἡμῶν ἅπερ ἀφαιρεθέντα ἄλγημα οὐ τὸ τυχὸν παρέχει καὶ κολούρωσιν, οἷον δάκτυλοι χεῖρες ὦτα ῥὶν καὶ τὰ ὅμοια· οἱ δ' ἐξ ἀποστήματος πολλοῦ προσῳκειωμένοι, οἷον ἀνεψιάδαι ἢ πατραδέλφων γαμβροντιδεῖς ἢ τοιοῦτοί τινες, ἐοίκασιν ἑκάστου ἡμῶν τοῖς μέρεσιν ὧν τεμνομένων ἄλγησις οὐδεμία παραγίνεται, οἷον θριξὶ καὶ ὄνυξι καὶ τοῖς ὁμοίοις. βουλόμενος οὖν ἐκείνους τοὺς συγγενεῖς δηλῶσαι τοὺς παρὰ τὸν ἄλλον χρόνον ἠμελημένους διὰ τὴν ἀπόστασιν, τοῖς ὄνυξιν ἐχρήσατο καὶ εἶπε· μὴ ἀποτίθεσο παντάπασι τούτους, ἀλλ' ἔν γε θυσίαις, εἰ καὶ τῷ ἄλλῳ χρόνῳ παρημελήθησαν, πρόσαγε 366 K. αὐτοὺς σαυτῷ καὶ ἀνανέου τὴν οἰκειότητα.

κη΄ Τὸ δὲ δεξιὰν μὴ παντὶ ῥαδίως ἔμβαλλε μὴ 155 A. ὄρεγε ῥαδίως φησὶ δεξιάν, τουτέστι μὴ ἀνάσπα μηδὲ ἀνιμᾶν ἐπιχείρει δεξιὰν ὀρέγων τοῖς ἀνεπιτηδείοις καὶ ἀνοργιάστοις, ἔτι δὲ διὰ παιδευμάτων τε καὶ διδαγμάτων, ἃ πολλῷ χρόνῳ δοκιμασθεῖσιν ἀξίοις εἶναι τοῦ μεταλαβεῖν ἐγκρατείας τε καὶ πενταετοῦς σιωπῆς καὶ τῆς ἄλλης βασάνου μόγις δίδοται.

κθ΄ Τὸ δὲ στρωμάτων ἐξαναστὰς συνέλισσε αὐτὰ καὶ τὸν τύπον συνστόρνυε τοῦτο παραγγέλλει, ὅτι φιλοσοφεῖν ἐπιβαλλόμενος νοητοῖς λοιπὸν καὶ ἀσωμάτοις προσοικείου σεαυτόν. ἐκ τοῦ οὖν τῆς ἀμαθίας ὕπνου καὶ νυκτοειδοῦς σκότους ἐξανιστάμενος μηδὲν συνεπισπῶ σεαυτῷ σωματικὸν εἰς τὸ τῆς φιλο-

5 προσοικειωμένοι (sic), cf. Kühner I² 497 sq. ‖ 6 γαμβροτιδεῖς ex apogr. Ciz. K ‖ 12 sq. ἔν γε θυσίαις, εἰ scripsit K: εἴ τε θυσίαις ἢ ‖ 14 fort. ἀνανεοῦ ‖ 15 παντὶ p. 108, 2: πάρυ τι ‖ 18 ἔτι δὲ] λέγει δὲ? 'probabilius lacunam statuas ante ἔτι' Vitelli.

σοφίας ἡμεροειδές, ἀλλὰ πάντα τὰ τοῦ ὕπνου ἐκείνου ἴχνη τῆς μνήμης τῆς σεαυτοῦ ἐκκάθαιρε καὶ ἐξαφάνιζε.

λ΄ 368 K. Τὸ δὲ καρδίαν μὴ τρῶγε σημαίνει τὸ μὴ δεῖν τὴν ἕνωσιν τοῦ παντὸς καὶ τὴν σύμπνοιαν διασπᾶν, 156 A. καὶ ἔτι μᾶλλον τὸ μὴ ἴσθι βάσκανος, ἀλλὰ φιλάνθρωπος καὶ κοινωνικός. ἐκ δὲ τούτου φιλοσοφεῖν παραινεῖ· μόνη γὰρ αὕτη ἐπιστημῶν καὶ τεχνῶν οὔτε ἐπιλυπεῖται ἀγαθοῖς ἀλλοτρίοις οὔτε ἐπιχαίρει κακοῖς τοῖς πέλας, ἅτε φύσει συγγενεῖς καὶ οἰκείους ὁμοιοπαθεῖς τε καὶ κοινῇ ὑποκειμένους τύχῃ ἀπροόρατόν τε τὸ μέλλον ἔχοντας τοὺς ἀνθρώπους πάντας ὁμαλῶς ἀποφαίνουσα· διόπερ συμπαθεῖς τε καὶ φιλαλλήλους παραγγέλλει εἶναι, κοινωνικόν τε ὡς ἀληθῶς καὶ λογικὸν ζῷον.

λα΄ Τούτῳ δὲ ἔοικε καὶ τὸ ἐγκέφαλον μὴ ἔσθιε· καὶ γὰρ αὐτὸς οὗτος ἡγεμονικόν ἐστι τοῦ φρονεῖν ὄργανον. αἰνίττεται οὖν ὡς οὐ δεῖ καλῶς βεβουλευμένα πράγματα καὶ δόγματα διασιλλαίνειν μηδὲ διαδάκνειν, καλῶς δ' ἂν εἴη βεβουλευμένα τὰ διὰ φρενῶν 370 K. καὶ τοῦ κατ' αὐτὸ τὸ νοεῖν ἡγεμονικοῦ συνεσκεμμένα, ἴσον τῷ ἐπιστημονικά. οὐ γὰρ διὰ τῶν τοῦ ἀλόγου τῆς ψυχῆς εἴδους ὀργάνων, καρδίας καὶ ἥπατος, ἀλλὰ διὰ τοῦ καθαροῦ τοῦ λογιστικοῦ τὰ τοιαῦτα ἐθεωρήθη· 157 A. διόπερ ἀβουλία τὸ ἀντικόπτειν αὐτοῖς. σέβεσθαι δὲ μᾶλλον κελεύει τὸ σύμβολον τὴν τῶν φρενῶν πηγὴν καὶ τὸ τῷ νοεῖν προσεχέστατον ὄργανον, δι' οὗ θεωρίαν τε καὶ ἐπιστήμην καὶ τὸ σύνολον σοφίαν κτώμεθα καὶ ὡς ἀληθῶς φιλοσοφοῦμεν, καὶ μὴ συγχεῖν μηδὲ ἀφανίζειν τὰ δι' αὐτοῦ ἴχνη.

8 τοῖς] τῶν coni. Gyraldus (Opp. II 481) et Rittershusius p. 62 Kust. (227 Kiessl.): fortasse τοῖς τῶν ‖ 22 ἐθεωρη^θ' ‖ 27 συγχεῖν Vulcanius: συνέχειν.

λβ' Τὸ δὲ ἀποκαρμάτων σῶν καὶ ἀπονυχισμάτων κατάπτυε λέγει τοῦτο· εὐκαταφρόνητα τὰ σύμφυτα μέν σοι, ἀψυχότερα δέ πως, ὥσπερ τιμιώτερα τὰ ψυχικώτερα· οὕτως δὴ καὶ ἐπειδὰν φιλοσοφεῖν ἐπιβάλῃ, προτίμα μὲν τὰ διὰ ψυχῆς καὶ νοῦ ἄνευ αἰσθητηρίων ἀποδεικνύμενα διὰ θεωρηματικῆς ἐπιστήμης, καταφρόνει δὲ καὶ κατάπτυε τῶν ἄνευ νοητικοῦ φωτὸς δοξαζομένων διὰ τῶν συμφύτων ψιλῶς αἰσθητηρίων, ἃ μηκέτι εὐτονεῖ τῇ τοῦ νοῦ ἀιδιότητι παρομαρτεῖν.

λγ' Τὸ δὲ ἐρυθῖνον μὴ προσλαμβάνου φαίνεται 372 K. πρὸς τὴν τοῦ ὀνόματος ἐτυμολογίαν ψιλὴν συμβεβλῆ- 158 A. σθαι. ἀπηρυθριακότα γὰρ καὶ ἀναίσχυντον μὴ ἐπιδέχου ἄνθρωπον, ἢ ἐκ τοῦ ἐναντίου καταπλῆγα καὶ ἐν παντὶ καθ' ὑπερβολὴν ἐρυθριῶντα καὶ ταπεινούμενον ὑπό τε νοῦ καὶ ἀσθενοῦς διανοίας. διὰ δὲ τούτου νοεῖται τὸ μὴ αὐτὸς τοιοῦτος ἴσθι.

λδ' Τὸ δὲ χύτρας ἴχνος ἀπὸ σποδοῦ ἀφάνιζε σημαίνει συγχύσεως καὶ παχυτῆτος, ὅπερ ἐστὶ σωματικῶν καὶ αἰσθητῶν ἀποδείξεων, ἐκλανθάνεσθαι φιλοσοφεῖν ἐπιβαλλόμενον, νοηταῖς δὲ χρῆσθαι μᾶλλον ἀποδείξεσιν. ἡ δὲ σποδὸς ἀντὶ τῆς κόνεως τῆς ἐπὶ τοῖς ἄβαξι παρελήφθη, ἐφ' ἧς αἱ ἀποδείξεις συμπεραίνονται.

λε' Χρυσὸν δὲ ἐχούσῃ μὴ πλησίαζε ἐπὶ τεκνοποιίᾳ, οὐ γυναικὶ λέγει, ἀλλ' αἱρέσει καὶ φιλοσοφίᾳ, ᾗπέρ ἐστι πολὺ τὸ σωματικὸν καὶ κατάφορον εἰς βαρύ- 374 K. τητα. πάντων γὰρ τῶν ἐπὶ γῆς βαρύτατον χρυσὸς καὶ τῆς ἐπὶ τὸ μέσον φορᾶς διωκτικόν, ὅπερ βάρους σωματικοῦ ἴδιον. τὸ δὲ πλησιάζειν οὐ μόνον συγγίνεσθαι, 159 A. ἀλλὰ καὶ συνεγγίζειν ἐστὶ καὶ πλησίον καθίστασθαι.

10 ἐρυθρῖνον (littera ρ ex corr.). cf. ad p. 108, 8 ‖ 22 ἐφ' ἧς κτλ.] cf. Vit. Pyth. p. 18, 13 sq. Nk.

λς' Τὸ δὲ προτίμα τὸ σχῆμα καὶ βῆμα τοῦ σχῆμα καὶ τριώβολον παραγγέλλει τοῦτο· φιλοσόφει καὶ μαθήματα μέτιθι μὴ παρέργως, καὶ δι' αὐτῶν ὥσπερ διαβάθρας ἐπὶ τὸ προκείμενον χώρει· κατάπτυε δὲ τῶν προτιμωμένων καὶ πρεσβευομένων τοῖς πολλοῖς, καὶ προτίμα τὴν Ἰταλικὴν φιλοσοφίαν τὴν τὰ ἀσώματα καθ' αὑτὰ θεωροῦσαν τῆς Ἰωνικῆς τῆς τὰ σώματα προηγουμένως ἐπισκοπουμένης.

λζ' 376 K. Τὸ δὲ κυάμων ἀπέχου συμβουλεύει φυλάττεσθαι πᾶν ὅσον ἐστὶ φθαρτικὸν τῆς πρὸς θεοὺς ὁμιλίας καὶ τῆς θείας μαντικῆς.

λη' Τὸ δὲ μολόχην μεταφύτευε μέν, μὴ ἔσθιε δέ, αἰνίττεται μὲν ὅτι συντρέπεται τῷ ἡλίῳ τὰ τοιαῦτα φυτὰ καὶ παρατηρεῖν ἀξιοῖ τοῦτο, πρόσκειται δὲ τὸ μεταφύτευε, τουτέστιν ἐπιστὰς τῇ αὐτοῦ φύσει καὶ τῇ πρὸς τὸν ἥλιον διατάσει καὶ συμπαθείᾳ μὴ ἀρ-
160 A. κοῦ μηδὲ ἐπίμενε μόνῳ τούτῳ, ἀλλὰ τὴν διάνοιαν μεταβίβαζε καὶ ὡσανεὶ μεταφύτευε καὶ ἐπὶ τὰ ὁμογενῆ φυτὰ καὶ λάχανα καὶ ἐπὶ τὰ μὴ ὁμογενῆ [δὲ] ζῷα ἤδη καὶ λίθους καὶ ποταμοὺς καὶ πάσας ἁπλῶς φύσεις· πολύχουν γὰρ εὑρήσεις καὶ πολύτροπον θαυμασίως δὲ δαψιλὲς τὸ τῆς τοῦ κόσμου ἑνώσεως καὶ συμπνοίας σημαντικόν, ὥσπερ ἀπὸ ῥίζης καὶ ἀφετῆρος τῆς μολό-
378 K. χης ὡρμημένος. οὐ μόνον οὖν μὴ ἔσθιε μηδὲ ἀφάνιζε τὰς τοιαύτας παρατηρήσεις, ἀλλὰ καὶ αὖξε καὶ πληθοποίει δίκην μεταφυτεύοντος.

λθ' Τὸ δὲ ἐμψύχων ἀπέχου ἐπὶ δικαιοσύνην προτρέπει καὶ πᾶσαν τὴν τοῦ συγγενοῦς τιμὴν καὶ τὴν τῆς ὁμοίας ζωῆς ἀποδοχὴν καὶ πρὸς ἕτερα τοιαῦτα πλείονα.

4 διαβάθρας Scaliger(?); cf. Praef.: διὰ βάθρας ‖ 19 δὲ delevi: γε scripsit K.

Διὰ πάντων δὴ οὖν τούτων φανερὸς γέγονε καὶ ὁ διὰ τῶν συμβόλων προτρεπτικὸς τύπος ἔχων πολὺ τὸ ἀρχαιότροπον καὶ Πυθαγορικόν. ἀλλ' ἐπεὶ διὰ πάντων διεξεληλύθαμεν τῶν προτρεπτικῶν τρόπων, ἐνταῦθα καταπαύομεν τοὺς εἰς παράκλησιν τείνοντας λόγους.

---

6 subscr. rubr. *τέλος τοῦ δευτέρου λόγου. θαυμαστὸν ἐξήνεγκε τοῦτον τὸν λόγον γέμοντα πάσης γνωστικῆς θεωρίας καὶ δείξεων ἔχοντα πίστεις εὐτόνους* quibus subicitur versuum numerus X̲X̲X̲ N̲N̲N̲N̲ Γ̲Δ̲ Δ̲Δ̲Δ̲ I̲I̲I̲I̲ (XXXHHHHΓΔΔΔIIII correxit Vitelli, Mus. ital. di ant. class. I p. 5).

SCHOLIA CODICIS FLORENTINI

IN IAMBLICHI PROTREPTICUM

p. 7, 14 *μηδεμιᾶς κτλ.*] *οἷον Στωικῆς Ἀκαδημιακῆς καὶ τῶν ἄλλων.*

p. 7, 20 *Πυθαγορικῇ*] *ἀντὶ τοῦ αἰνιγματώδει, μυστικῇ· αἰνιγματώδη γὰρ καὶ συμβολικὰ τὰ Πυθαγόρου πρὸς ἀρετὴν παραγγέλματα.*

p. 12, 3 sq. *ἔχ*ȣ (?) *ἀκροα*^τ *διὰ τούτων καὶ τὸ τῆς ἀστρολογίας χ*^ρ (*χρήσιμον*?)

p. 17, 28 *εἰς τὸ ὑπάρχων ὑποστικτέον.*

p. 18, 9 sq. *εἰς τὸ μετ' αἰσθάσιος ὑποστικτέον.*

p. 20, 15 *Ποιεῖται*] *ὁ Ἀρχύτας.*

p. 21, 10 sqq. *τέλος τῆς πρακτικῆς ἀρετῆς οὐ τὸ κατιδεῖν τὸ ἀγαθὸν ἁπλῶς οὑτωσίν, ἀλλὰ τὸ προσλαβεῖν αὐτὸ διὰ τῶν ἐνεργειῶν.*

p. 22, 1 sqq. *καὶ ἀπὸ τῶν ἐνταῦθα ἐγγεγραμμένων ὁ τῶν Μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους σκοπὸς εὔγνωστος, καὶ τὸ κακῶς καὶ ἀμαθῶς παρά τινων λεγόμενον, τὸ μὴ γινώσκεσθαι τῆς πραγματείας ἐκείνης τὸν σκοπόν, σαφῶς ἐλεγχόμενον.*

p. 25, 17 sq. *σημείωσαι ὅτι ἡ μὴ ὀρθὴ τῶν ἀγαθῶν χρῆσις κακωτέρα ἐστὶν ἀχρηστίας.*

p. 26, 6 *τὰ ἐναντία ἔχων*] *ἄνευ νοῦ δηλονότι.*

p. 26, 13 *μείζω ἀγαθά*] *τῷ κεκτημένῳ.*

p. 26, 26 *σημείωσαι ὅτι ἡ ἐμφιλόσοφος ἐπιστήμη οὐ μόνον κτητική ἐστι καὶ ποιητικὴ τῶν ἀγαθῶν, ἀλλὰ καὶ χρηστικὴ μάλιστα· ἡ γὰρ μὴ χρηστικὴ ἀφιλόσοφος καὶ ἀπατηλὴ καὶ ἀγεννής.*

p. 28, 19 Ἐκ τοῦ Ἀλκιβιάδου τοῦ Πλάτωνος.

p. 29, 15 Ἐκ τοῦ ε´ τῶν νόμων τοῦ Πλάτωνος.

p. 30, 2 sqq. γένοιτό ποτε καὶ ἡμᾶς, φιλοσόφων ἄριστε Ἰάμβλιχε, οὕτω τιμῆσαι τὴν ψυχὴν ἡμῶν, καὶ διὰ πάντων τῶν ἐκτεθέντων παρὰ σοῦ ἢ τῶν πλείστων τὰ πρὸς τελείωσιν αὐτῆς ἐπιτηδεύσασθαι.

p. 33, 3 οἷον οἱ παιδαγωγοί.

p. 33, 5 τὸ βέλτιστον] τὸ λογιστικὸν ἡμῶν.

p. 33, 9 τοιαύτην] ἀντὶ τοῦ βελτίστην.

p. 34, 5 sq. ὅτι καὶ τὴν φύσιν ὡς λόγον τινὰ ἔχουσαν λαμβάνει διὰ τὸ πάντα πρός τι ποιεῖν καὶ ἕνεκά τινος· τοῦτο δὲ καὶ Γαληνῷ δοκεῖ.

p. 34, 22 sqq. ὅτι ἕτερός ἐστιν ὁ θεωρῶν τὴν δικαιοσύνην ἵνα μαθὼν ἄρξηται δικαιοπραγεῖν καὶ μὴ γένηται περιπετὴς καὶ ὑπεύθυνος τῇ ἀπὸ τῆς ἀδικίας ζημίᾳ, καὶ πάλιν ἕτερός ἐστιν ὁ θεωρῶν τὴν δικαιοσύνην δι᾽ ἑαυτήν, οὐχ ἕνεκά τινος ἄλλου (καὶ γὰρ καὶ τοῦτο τέλος ἐστὶν ἡ γνῶσις αὐτὴ ὡς τιμιώτατον καὶ ὠφελιμώτατον)· καὶ ὅτι ὁ μὲν πρῶτος ἑπόμενος τῷ πρακτικῷ καὶ ἀναπιμπλάμενος [καὶ] τῆς τύχης, καὶ καλεῖται πολιτικός, ὁ δὲ δεύτερος ἀπόλυτος καὶ ἐλεύθερος, καὶ καλεῖται θεωρητικός.

p. 34, 27 αὐτὸς] αὐτὸς ὁ νοῦς.

p. 35, 7 αἱ τίμιοι· καὶ Θουκυδίδης (I 32, 1)· ‘τὴν χάριν βέβαιον’.

p. 36, 15 sqq. ὅτι ὁ σπουδαῖος τῇ τύχῃ οὐκ ὑπείκει οὐδὲ τοῖς τυχηροῖς· δηλοῖ δὲ Κράτης καὶ Διογένης.

p. 38, 14 δεῖ οὕτω συντάξαι· στοιχείων δὲ αἱ ὀνομαζόμεναι συλλαβαί. τρόπος γάρ ἐστιν ὡς τὸ ‘χασσάμενος πολεμίχθη’ (Hom. Δ 535, al.).

p. 39,15 μόνον] ἰστέον ὅτι ἡ τοῦ μόνον προσθήκη ἐξισάζειν λέγει τὸν νόμον τῷ ἄρχοντι· ὥστε καὶ ἀντικατηγορεῖται.

p. 48, 20 sq. αἰσχυνέσθωσαν οἱ κατ᾽ ἐμὲ Χριστιανοὶ τὸν φιλόσοφον Ἕλληνα φλυαρίαν καὶ λῆρον τὰ παρὰ τὸ φιλοσοφεῖν λογιζόμενον.

---

17 καὶ τοῦτο] fort. τούτῳ ‖ 18 τιμιώ[τ'] καὶ ὠφελιμώ[τ'] ‖ 19 καὶ ante τῆς delevi.

p. 51, 3 ὅτι γίνεταί τινα ζῷα καὶ παρὰ φύσιν, ὡς οἱ ἐν τοῖς τεθνεῶσι σκώληκες σηπομένοις γεννώμενοι καὶ ἐν τοῖς νοσοῦσιν ἕλμινθες.

p. 52, 12 sqq. σημείωσαι τὰ παρόντα διὰ τοὺς ἀπαιδεύτους καὶ σκαιοὺς ὀνειδίζοντας τοῖς τὸν φιλόσοφον βίον καὶ τὸ φρονεῖν αἱρουμένοις, πράγματα οὐδὲν ὄφελος ἢ χρήσιμον ἔχοντα, ὡς ἐκείνοις δοκεῖ.

p. 55, 26 μόνος γὰρ κτλ.] σὺ τοιοῦτος καὶ οἱ κατὰ σέ, ἐνθουσιαστικώτατε Ἰάμβλιχε. ἐγὼ δὲ καὶ ὅσοι ἐμοὶ τὸν βίον ὅμοιοι οὐ τῶν ἀιδίων καὶ μονίμων ἀνήψαμεν τοῦ βίου τὰς ἀρχάς, τῶν δὲ φθαρτῶν καὶ εὐμεταπτώτων· διὸ καὶ ζῶμεν οὐχ ὡς φιλόσοφοι, μᾶλλον δὲ οὐχ ὡς ἄνθρωποι, ἀλλὰ βίον κτηνώδη καὶ χοίρειον.

p. 57, 4 sqq. ἀντὶ τοῦ κατ᾽ ἐνέργειαν.

p. 61, 7 ἐκ τοῦ Πλατωνικοῦ Φαίδωνος.

p. 61, 18 sqq. ὡς λίαν τοῦτο τὸ ἐπιχείρημα ἀναγκαιότατον καὶ μεγάλην τὴν εἰς ψυχὴν ὠφέλειαν ἐμποιοῦν τῷ προσέχοντι καὶ ὡς ἀληθῶς καὶ θεαρέστως ἐπιθυμοῦντι φιλοσοφῆσαι.

p. 63, 26 sqq. σύμφωνον τοῦτο τῷ ὡς ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι ἡμᾶς παρόντας ἐνταυθοῖ κατοπτρίζεσθαι τὴν θείαν δόξαν. (cf. Paul. ad Corinth. I 13, 12. itemque II 3, 18).

p. 64, 26 sqq. ὅρα τὴν συμφωνίαν τῶν λεγομένων πρὸς τὰ θεῖα· εἰ ἀληθῆ, τὰ ἡμέτερα ἀριδηλότερα(?).

p. 70, 20 sqq. ταῦτα εἰς ἐπιστροφὴν καὶ διόρθωσιν βίου τοῖς κατ᾽ ἐμὲ μάλα συντείνονται.

p. 71, 23 οὔτε χρημάτων κτλ.] Ἡσίοδος οὖν οὐ καλῶς λέγει (Ἔργ. 313) ‘πλούτῳ δ᾽ ἀρετὴ καὶ κῦδος ὀπηδεῖ’.

p. 74, 20 ἀλλ᾽ ἐπὶ πέντε καὶ εἴκοσι κτλ.] οἷος ἦν ὁ Ἀρχίδαμος καὶ ὁ Ἀγησίλαος καὶ ὁ Ἆγις Ἡρακλεῖδαι καὶ βασιλεῖς Πελοποννήσου ἀντὶ τοῦ ἐκ τῶν κριτηρίων.

p. 76, 29 γῆς ἄλλως ἄχθη] Ὅμηρος (Σ 104)· ‘ἐτώσιον ἄχθος ἀρούρης’.

p. 77, 13 sqq. σημείωσαι πῶς νοεῖται τῷ Ἰαμβλίχῳ τὰ τῆς μετεμψυχώσεως.

p. 82, 7 τῶν δὲ νῦν δοκούντων κτλ.] τῶν περὶ σῶμα.

---

2 σηπωμένοις ‖ καὶ <οἱ> ἐν? ‖ 3 ἕλμινθες ‖ 30 πελοπον[η'].

p. 82, 19 sq. τοῦ ὄμματος τοῦ καθ' ὑπόθεσιν ὄντος.

p. 83, 7 sqq. ὑποῖοι τυγχάνουσιν οἵ τε ῥήτορες καὶ σοφισταὶ καὶ δημαγωγοὶ καὶ στρατηγοὶ τῶν Ἀθηναίων.

p. 84, 4 ἐκ τοῦ Πλατωνικοῦ Γοργίου εἴληπται.

p. 90, 7 οἱ σοφοὶ] οἱ Πυθαγόρειοι.

p. 90, 18 τοὺς ἔπειτα] τοὺς ἀπογόνους.

p. 91, 8 sq. Ὅμηρος (Δ 405)· 'ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι'.

p. 91, 24 τὸ Μηδὲν ἄγαν ἀπόφθεγμα Σόλωνος τοῦ Ἀθηναίου.

p. 92, 25 sqq. ἀντὶ τοῦ χωρὶς δικαιοσύνης ἡ ἰσχὺς καὶ ἡ ταχυτὴς φλυαρία εἰσί.

p. 99, 19 sqq. τὸ τοῦ Ὁμηρικοῦ Σαρπηδόνος (M 322 sqq.)· 'εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε ⟨κτλ.⟩'.

p. 117, 15 αἱ κρεάγραι] ὅμοιαι γάρ εἰσιν ἀγκίστρῳ.

p. 118, 14 sq. οἱ νεώτεροι] οἱ Στωικοί.

p. 120, 17 ζήτει τὸ Περὶ θεοῦ σύγγραμμα τοῦ σοφωτάτου Ἰαμβλίχου.

---

9 τὸ] τῶ ‖ 14 εἰ μὲν] ἐμὸν ‖ φυγόντας.

I. INDEX NOMINUM.

II. INDEX VERBORUM.

